seeing but those having-heard from the face and the
σχήματος ἐν θαύματι ποιουμένους, ἤρετο τί τὸ λεχθὲν
bearing in wonder holding(-it) asked what the(-thing) said
εἴη. πυθόμενος δὲ καὶ καταπλαγεὶς τοῦ Πομπηΐου τὴν
was having-learned and and astounded at-the of-Pompey the
τόλμαν ἀνεβόησε δὶς ἐφεξῆς, "Θριαμβευσάτω." πολλῶν
daring shouted twice in-succession let-him-triumph many
δὲ δυσχεραινόντων καὶ ἀγανακτούντων, ἔτι μᾶλλον αὐτούς,
and being-annoyed and being-indignant still more them
ὥς φασι, βουλόμενος ἀνιᾶν ὁ Πομπήϊος, ἐπεχείρησεν
as they-say wishing to-vex — Pompey attempted
ἐλεφάντων ἅρματι τεττάρων ἐπιβὰς εἰσελαύνειν· ἤγαγε
of-elephants on-a-chariot four having-mounted to-ride-in he-brought

γὰρ ἐκ Λιβύης τῶν βασιλικῶν συχνοὺς αἰχμαλώτους·
for from Libya of-the royal many captured
ἀλλὰ τῆς πύλης στενωτέρας οὔσης ἀπέστη καὶ μετῆλθεν
but the gate narrower being he-gave-up and went-over
ἐπὶ τοὺς ἵππους. ἐπεὶ δὲ οἱ στρατιῶται μὴ τυχόντες
to the horses when and the soldiers not having-obtained
ἡλίκων προσεδόκησαν ἐνοχλεῖν ἐβούλοντο καὶ θορυβεῖν,
as-much-as they-expected to-make-trouble wished and to-clamor
οὐδὲν ἔφη φροντίζειν, ἀλλὰ μᾶλλον ἀφήσειν τὸν θρίαμβον
nothing he-said to-care but rather would-give-up the triumph
ἢ κολακεύσειν ἐκείνους. ὅτε δὴ καὶ Σερουΐλιος, ἀνὴρ
than flatter them when indeed also Servilius a-man
ἐπιφανὴς καὶ μάλιστα πρὸς τὸν θρίαμβον ἐνστὰς τοῦ
distinguished and most against the triumph having-opposed(-it) —
Πομπηΐου, νῦν ἔφη τὸν Πομπήϊον ὁρᾶν καὶ μέγαν ἀληθῶς
of-Pompey now said — Pompey to-see both great truly
καὶ ἄξιον τοῦ θριάμβου. δῆλον δ' ἐστὶν ὅτι καὶ βουλῆς
and worthy of-the triumph clear and it-is that also in-the-senate
ἂν ἐθελήσας τότε ῥᾳδίως ἔτυχεν. ἀλλ' οὐκ ἐσπούδασεν,
— having-wished then easily he-would-have-got but not he-was-eager
ὡς λέγουσι, τὸ ἔνδοξον ἐκ τοῦ παραδόξου θηρώμενος. οὐ
as they-say the glory from the unexpected hunting not
γὰρ ἦν θαυμαστὸν εἰ πρὸ ἡλικίας ἐβούλευε Πομπήϊος,
for was it-remarkable if before age sat-in-the-senate Pompey
ἀλλ' ὑπέρλαμπρον ὅτι μηδέπω βουλεύων ἐθριάμβευε.
but very-brilliant that not-yet sitting-in-the-senate he-triumphed
τοῦτο δὲ αὐτῷ καὶ πρὸς εὔνοιαν ὑπῆρχε τῶν πολλῶν οὐ
this and for-him also toward goodwill was of-the many not
μικρόν· ἔχαιρε γὰρ ὁ δῆμος αὐτῷ μετὰ θρίαμβον ἐν
small rejoiced for the people at-him after triumph among
τοῖς ἱππικοῖς ἐξεταζομένῳ.
the knights being-reviewed

15 Σύλλας δὲ ἠνιᾶτο μὲν ὁρῶν εἰς ὅσον δόξης πρόεισι
Sulla and was-vexed indeed seeing to how-much of-reputation he-advances
καὶ δυνάμεως, αἰσχυνόμενος δὲ κωλύειν ἡσυχίαν ἦγε·
and power ashamed but to-hinder quiet kept
πλήν, ὅτε βίᾳ καὶ ἄκοντος αὐτοῦ Λέπιδον εἰς ὑπατείαν
except when by-force and unwilling him Lepidus to consulship
κατέστησε, συναρχαιρεσιάσας καὶ τὸν δῆμον εὐνοίᾳ τῇ πρὸς
he-established helping-canvass and the people by-goodwill the toward
ἑαυτὸν ἐκείνῳ σπουδάζοντα παρασχών, θεασάμενος αὐτὸν
himself for-that-one eager making seeing him
ἀπιόντα μετὰ πλήθους δι' ἀγορᾶς ὁ Σύλλας, "Ὁρῶ
going-away with a-crowd through market-place — Sulla I-see
σε," εἶπεν, "ὦ νεανία, χαίροντα τῇ νίκῃ· πῶς γὰρ οὐχὶ
you he-said O young-man rejoicing in-the victory how for not
γενναῖα ταῦτα καὶ καλά, Κάτλου τοῦ πάντων ἀρίστου
noble these-things and fine than-Catulus of-the of-all best
Λέπιδον τὸν πάντων κάκιστον ἀποδειχθῆναι πρότερον
Lepidus the of-all worst to-have-been-proclaimed first
ὕπατον, σοῦ τὸν δῆμον οὕτω παρασκευάσαντος; ὥρα
consul you the people so having-prepared it-is-time
μέντοι σοι μὴ καθεύδειν, ἀλλὰ προσέχειν τοῖς πράγμασιν·
however for-you not to-sleep but to-attend to-the affairs
ἰσχυρότερον γὰρ τὸν ἀνταγωνιστὴν σεαυτῷ κατεσκεύακας."
stronger for the rival for-yourself you-have-made
ἐδήλωσε δὲ μάλιστα Σύλλας ὅτι πρὸς Πομπήϊον οὐκ
showed and most Sulla that toward Pompey not
εὐμενῶς εἶχε ταῖς διαθήκαις ἃς ἔγραψεν. ἑτέροις
kindly he-was-disposed by-the will which he-wrote to-other
γὰρ φίλοις δωρεὰς ἀπολιπών, καὶ τοῦ παιδὸς ἀποδείξας
for friends gifts having-left and of-the son having-appointed
ἐπιτρόπους, τὸν Πομπήϊον ὅλως παρῆλθεν. ἤνεγκε μέντοι
guardians — Pompey altogether passed-over bore however

τοῦτο μετρίως πάνυ καὶ πολιτικῶς ἐκεῖνος, ὥστε Λεπίδου
this moderately very and civilly he so-that Lepidus
καί τινων ἄλλων ἐνισταμένων μὴ ταφῆναι τὸν νεκρὸν ἐν
and some others opposing not to-be-buried the corpse in
τῷ πεδίῳ, μηδὲ δημοσίᾳ τὴν ἐκφορὰν γενέσθαι, βοηθῆσαι
the field nor at-public-cost the funeral to-take-place to-help(-them)
καὶ παρασχεῖν δόξαν ἅμα ταῖς ταφαῖς καὶ ἀσφάλειαν.
and to-provide honor at-once to-the burial and safety
Ἐπεὶ δὲ ταχὺ τοῦ Σύλλα τελευτήσαντος εἰς φῶς παρῆλθε 16
when and soon — of-Sulla having-died into light came
τὰ μαντεύματα, καὶ Λέπιδος εἰσποιῶν ἑαυτὸν εἰς τὴν
the prophecies and Lepidus thrusting himself into the
ἐκείνου δύναμιν οὐ κύκλῳ περιϊὼν οὐδὲ μετὰ σχήματος,
of-that-one power not in-a-circle going-round nor with pretense
ἀλλὰ εὐθὺς ἐν τοῖς ὅπλοις ἦν, τὰ πάλαι νοσοῦντα καὶ
but straightway in the arms was the long-since diseased and
διαφυγόντα τὸν Σύλλαν ὑπολείμματα τῶν στάσεων αὖθις
having-escaped — Sulla remnants of-the factions again
ἀνακινῶν καὶ περιβαλλόμενος, ὁ δὲ συνάρχων αὐτοῦ
stirring-up and gathering-around(-himself) the and colleague his
Κάτλος, ᾧ τὸ καθαρὸν καὶ ὑγιαῖνον μάλιστα τῆς βουλῆς
Catulus to-whom the sound and healthy most of-the senate
καὶ τοῦ δήμου προσεῖχεν, ἦν μὲν ἐν ἀξιώματι σωφροσύνης
and of-the people adhered was indeed in esteem for-temperance
καὶ δικαιοσύνης μέγιστος τῶν τότε Ῥωμαίων, ἐδόκει
and justice greatest of-the then Romans he-seemed
δὲ πολιτικῆς ἡγεμονίας μᾶλλον ἢ στρατιωτικῆς οἰκεῖος
but for-civil leadership rather than military suited
εἶναι, τῶν πραγμάτων αὐτῶν ποθούντων τὸν Πομπήϊον οὐ
to-be the affairs themselves longing-for — Pompey not
διεμέλλησεν ὅπη τράπηται, προσθεὶς δὲ τοῖς ἀρίστοις
he-delayed which-way he-should-turn having-attached and to-the best(-men)

ἑαυτὸν ἀπεδείχθη στρατεύματος ἡγεμὼν ἐπὶ τὸν Λέπιδον
himself he-was-appointed of-an-army commander against — Lepidus
ἤδη πολλὰ τῆς Ἰταλίας κεκινηκότα καὶ τὴν ἐντὸς
already much — of-Italy having-stirred-up and the within
Ἄλπεων Γαλατίαν κατέχοντα διὰ Βρούτου στρατεύματι.
Alps Gaul holding through Brutus with-an-army
Τῶν μὲν οὖν ἄλλων ἐκράτησε ῥᾳδίως ἐπελθὼν ὁ
of-the indeed then others he-mastered easily having-attacked —
Πομπήϊος· ἐν δὲ Μουτίνῃ τῆς Γαλατίας ἀντεκάθητο τῷ
Pompey at but Mutina — of-Gaul he-sat-opposite —
Βρούτῳ συχνὸν χρόνον· ἐν ᾧ Λέπιδος ἐπὶ τὴν Ῥώμην
Brutus a-long time during which Lepidus at — Rome
ῥυεὶς καὶ προσκαθήμενος ἔξωθεν ὑπατείαν ᾔτει δευτέραν,
having-rushed and sitting-down-before(-it) from-outside a-consulship asked a-second
ὄχλῳ πολλῷ δεδιττόμενος τοὺς ἔνδον. ἔλυσε δὲ τὸν φόβον
with-crowd large frightening those within dissolved and the fear
ἐπιστολὴ παρὰ Πομπηΐου κομισθεῖσα κατωρθωκότος ἄνευ
a-letter from Pompey brought having-succeeded without
μάχης τὸν πόλεμον. ὁ γὰρ Βροῦτος, εἴτε παραδοὺς
battle in-the war — for Brutus whether having-handed-over
τὴν δύναμιν αὐτός, εἴτε προδοθεὶς μεταβαλομένης ἐκείνης,
the force himself or betrayed having-changed-sides that
ἐνεχείρισε τῷ Πομπηΐῳ τὸ σῶμα, καὶ λαβὼν ἱππεῖς
entrusted — to-Pompey his person and having-received horsemen
προπομποὺς ἀπεχώρησεν εἰς πολίχνιόν τι τῶν περὶ τὸν
as-escort withdrew to town some of-those about the
Πάδον, ὅπου μεθ' ἡμέραν μίαν, ἐπιπέμψαντος αὐτῷ τοῦ
Padus where after day one having-sent to-him —
Πομπηΐου Γεμίνιον, ἀνῃρέθη· καὶ πολλὴν ἔσχεν ἀπὸ τούτου
of-Pompey Geminius he-was-killed and much had from this
Πομπήϊος αἰτίαν. γεγραφὼς γὰρ εὐθὺς ἐν ἀρχῇ τῆς
Pompey blame having-written for at-once at the-beginning of-the

μεταβολῆς πρὸς τὴν σύγκλητον ὡς ἑκὼν αὐτῷ πρόσθοιτο
change to the senate that willingly to-him had-attached-himself
Βροῦτος, ἑτέρας αὖθις ἔπεμψεν ἐπιστολὰς ἀνῃρημένου τοῦ
Brutus other again he-sent letters having-been-killed the
ἀνθρώπου κατηγορούσας. τούτου Βροῦτος ἦν υἱὸς ὁ
man accusing(-him) of-this-one Brutus was son the(-one)
Καίσαρα σὺν Κασσίῳ κτείνας, ἀνὴρ ὁμοίως τῷ πατρὶ μήτε
Caesar with Cassius having-killed a-man like the father neither
πολεμήσας μήτε ἀποθανών, ὡς ἐν τοῖς περὶ ἐκείνου
having-warred nor having-died as in the(-books) about that-one
γέγραπται. Λέπιδος μὲν οὖν εὐθὺς ἐκπεσὼν τῆς Ἰταλίας
it-has-been-written Lepidus indeed then at-once driven-out — from-Italy
ἀπεπέρασεν εἰς Σαρδόνα· κἀκεῖ νοσήσας ἐτελεύτησε δι᾽
crossed to Sardinia and-there having-fallen-ill died through
ἀθυμίαν, οὐ τῶν πραγμάτων, ὥς φασιν, ἀλλὰ γραμματίῳ
despondency not of-the affairs as they-say but on-a-letter
περιπεσὼν ἐξ οὗ μοιχείαν τινὰ τῆς γυναικὸς ἐφώρασε.
having-chanced from which adultery some of-the wife he-detected
Λεπίδῳ δὲ οὐδὲν ὅμοιος στρατηγὸς Ἰβηρίαν κατέχων 17
to-Lepidus but nothing like a-general Iberia holding
Σερτώριος ἐπηωρεῖτο Ῥωμαίοις φοβερός, ὥσπερ ἐπ᾽
Sertorius hovered-over Romans fearsome as on
ἔσχατον νόσημα τῶν ἐμφυλίων πολέμων εἰς τοῦτον
a-last disease of-the civil wars into this
τὸν ἄνδρα συνερρυηκότων, πολλοὺς μὲν ἤδη τῶν
the man having-flowed-together many indeed already of-the
ἐλαττόνων στρατηγῶν ἀνῃρηκότα, Μετέλλῳ δὲ Πίῳ
lesser generals having-killed with-Metellus but Pius
τότε συμπεπλεγμένον, ἀνδρὶ λαμπρῷ μὲν καὶ πολεμικῷ,
then grappling a-man brilliant indeed and warlike
δοκοῦντι δὲ ἀργότερον ὑπὸ γήρως ἕπεσθαι τοῖς καιροῖς τοῦ
seeming but more-sluggishly through old-age to-follow the occasions of-the

πολέμου, καὶ ἀπολείπεσθαι τῶν πραγμάτων ἁρπαζομένων
war and to-fall-behind the affairs being-snatched
ὀξύτητι καὶ τάχει, τοῦ Σερτωρίου παραβόλως καὶ
by-swiftness and speed — of-Sertorius recklessly and
λῃστρικώτερον αὐτῷ προσφερομένου, καὶ ταράττοντος
more-like-a-brigand him attacking and confusing
ἐνέδραις καὶ περιδρομαῖς ἄνδρα νομίμων ἀθλητὴν ἀγώνων
with-ambushes and flanking-moves a-man of-regular athlete contests
καὶ δυνάμεως στασίμου καὶ βαρείας ἡγεμόνα. πρὸς ταῦτα
and of-force stationary and heavy a-leader at these-things
Πομπήϊος ἔχων τὴν στρατιὰν ὑφ' ἑαυτῷ διεπράττετο
Pompey having the army under himself contrived
Μετέλλῳ πεμφθῆναι βοηθός· καὶ Κάτλου κελεύοντος οὐ
to-Metellus to-be-sent as-helper and Catulus bidding(-him) not
διέλυεν, ἀλλ' ἐν τοῖς ὅπλοις ἦν περὶ τὴν πόλιν, ἀεί
he-disbanded(-it) but in the arms was about the city always
τινας ποιούμενος προφάσεις, ἕως ἔδωκαν αὐτῷ τὴν ἀρχὴν
some making pretexts until they-gave him the command
Λευκίου Φιλίππου γνώμην εἰπόντος. ὅτε καί φασιν ἐν
Lucius Philippus the-motion having-made when also they-say in
συγκλήτῳ πυθομένου τινὸς καὶ θαυμάζοντος εἰ Πομπήϊον
senate asking someone and wondering whether Pompey
ἀνθύπατον οἴεται δεῖν ἐκπεμφθῆναι Φίλιππος· "Οὐκ
as-proconsul he-thinks it-is-needful to-be-sent Philippus not
ἔγωγε," φάναι τὸν Φίλιππον, "ἀλλ' ἀνθ' ὑπάτων," ὡς
I-at-least to-have-said — Philippus but instead-of consuls as
ἀμφοτέρους τοὺς τότε ὑπατεύοντας οὐδενὸς ἀξίους ὄντας.
both the then being-consuls of-no-account worth being
18 Ἐπεὶ δὲ τῆς Ἰβηρίας ἁψάμενος ὁ Πομπήϊος, οἷα φιλεῖ
when and — of-Iberia having-touched — Pompey as is-wont
πρὸς νέου δόξαν ἡγεμόνος, ἑτέρους ταῖς ἐλπίσιν
toward of-a-young reputation of-a-commander others in-their hopes

ἐποίησε τοὺς ἀνθρώπους καὶ τὰ μὴ πάνυ βεβαίως
made the men and the(-parts) not very firmly
τῷ Σερτωρίῳ συνεστῶτα τῶν ἐθνῶν ἐκινεῖτο καὶ
— with-Sertorius standing of-the nations began-to-stir and
μετεβάλλετο, λόγους ὑπερηφάνους ὁ Σερτώριος κατὰ τοῦ
change words arrogant — Sertorius against —
Πομπηΐου διέσπειρε, καὶ σκώπτων ἔλεγε νάρθηκος ἂν
Pompey scattered and jeering he-said a-rod —
αὐτῷ δεῆσαι καὶ σκύτους ἐπὶ τὸν παῖδα τοῦτον, εἰ μὴ
him to-need and a-strap for the boy this if not
τὴν γραῦν ἐκείνην ἐφοβεῖτο, λέγων τὸν Μέτελλον. ἔργῳ
the old-woman that he-feared meaning — Metellus in-fact
μέντοι φυλαττόμενος σφόδρα καὶ δεδοικὼς τὸν Πομπήϊον
however being-on-guard greatly and fearing — Pompey
ἀσφαλέστερον ἐστρατήγει. καὶ γὰρ ὁ Μέτελλος, ὅπερ οὐκ
more-safely he-led-the-war and for — Metellus which not
ἄν τις ᾠήθη, διετέθρυπτο τῷ βίῳ κομιδῇ πρὸς
— anyone would-have-thought had-become-enervated in-the life utterly to
τὰς ἡδονὰς ἐνδεδωκώς, καὶ μεγάλη τις εἰς ὄγκον καὶ
the pleasures having-given-in and great some to pomp and
πολυτέλειαν ἐξαίφνης ἐγεγόνει μεταβολὴ περὶ αὐτόν, ὥστε
extravagance suddenly had-come change about him so-that
τῷ Πομπηΐῳ καὶ τοῦτο θαυμαστὴν εὔνοιαν ἅμα δόξῃ
— for-Pompey also this wonderful goodwill together-with reputation
φέρειν, ἐπιτείνοντι τὴν εὐτέλειαν τῆς διαίτης οὐ πολλῆς
to-bring increasing the frugality of-the way-of-life not much
ἐπιτηδεύσεως δεομένην· φύσει γὰρ ἦν σώφρων καὶ
effort needing by-nature for he-was temperate and
τεταγμένος ἐν ταῖς ἐπιθυμίαις. Τοῦ δὲ πολέμου πολλὰς
ordered in the desires the and war many
ἰδέας ἔχοντος, ἠνίασε μάλιστα τὸν Πομπήϊον ἡ Λαύρωνος
forms having vexed most — Pompey the of-Lauron

ἅλωσις ὑπὸ Σερτωρίου. κυκλοῦσθαι γὰρ αὐτὸν οἰηθεὶς
capture by Sertorius to-be-encircling for him having-thought
καί τι μεγαληγορήσας, αὐτὸς ἐξαίφνης ἀνεφάνη
and something having-boasted himself suddenly appeared
περιεχόμενος κύκλῳ· καὶ διὰ τοῦτο κινεῖσθαι δεδιὼς
surrounded in-a-circle and for this to-move fearing
ἐπεῖδε καταπιμπραμένην τὴν πόλιν αὐτοῦ παρόντος.
he-looked-on burning the city him being-present
Ἑρέννιον δὲ καὶ Περπένναν, ἄνδρας ἡγεμονικοὺς τῶν πρὸς
Herennius and and Perperna men of-command-rank of-those to
Σερτώριον καταπεφευγότων καὶ στρατηγούντων ἐκείνῳ,
Sertorius having-fled and serving-as-generals for-him
νικήσας περὶ Οὐαλεντίαν ὑπὲρ μυρίους ἀπέκτεινεν.
having-conquered near Valentia over ten-thousand he-killed

V · SERTORIUS AND THE FIRST CONSULSHIP

At the Sucro Pompey is wounded and saves himself by abandoning his horse. Sertorius is murdered; Pompey defeats Perperna, executes him, and burns Sertorius' letters unread. Returning, he cuts down the remnants of Spartacus' slaves and claims the war's end, then wins a second triumph and the consulship with Crassus. He restores the tribunes' powers and, before the censors, declares he has served every campaign under himself as commander; Aurelius' dream reconciles the consuls.

19 Ἐπαρθεὶς δὲ τῇ πράξει καὶ μέγα φρονῶν ἐπ' αὐτὸν
elated and by-the deed and great thinking against him
ἔσπευδε Σερτώριον, ὡς μὴ μετάσχοι τῆς νίκης Μέτελλος.
hastened Sertorius so-that not might-share the victory Metellus
περὶ δὲ Σούκρωνι ποταμῷ τῆς ἡμέρας ἤδη τελευτώσης
near and Sucro river the day already ending
συνέβαλον τὰς δυνάμεις, δεδιότες ἐπελθεῖν τὸν Μέτελλον,
they-joined the forces fearing to-come-up — Metellus

ὁ μὲν ὡς μόνος, ὁ δὲ ὡς μόνῳ διαγωνίσαιτο.
the one that alone the other that against-one-alone he-might-fight-it-out
τὸ μὲν οὖν τέλος ἀμφίδοξον ἔσχεν ὁ ἀγών· ἑκατέρου
the indeed then end doubtful had the contest of-each
γὰρ θάτερον κέρας ἐνίκησε· τῶν δὲ στρατηγῶν πλέον
for the-other wing conquered of-the and generals more
ἠνέγκατο Σερτώριος· ἐτρέψατο γὰρ τὸ καθ' αὑτὸν
won Sertorius he-routed for the(-part) against himself
ἐκεῖνος ἀντιταχθείς. Πομπηΐῳ δὲ ἀνὴρ μέγας ἱππότῃ πεζὸς
he drawn-up at-Pompey and a-man big a-horseman on-foot
ἐφώρμησε· συμπεσόντων δ' εἰς τὸ αὐτὸ καὶ γενομένων ἐν
rushed having-met and into the same and having-come to
λαβαῖς ἀπέσκηψαν αἱ πληγαὶ τῶν ξιφῶν εἰς τὰς χεῖρας
grips fell the blows of-the swords on the hands
ἀμφοῖν, οὐχ ὁμοίως· ἐτρώθη μὲν γὰρ ὁ Πομπήϊος
of-both not alike was-wounded indeed for — Pompey
μόνον, ἐκείνου δὲ ἀπέκοψε τὴν χεῖρα. πλειόνων δὲ
only of-that-one and he-cut-off the hand more and
συνδραμόντων ἐπ' αὐτόν, ἤδη τῆς τροπῆς γεγενημένης,
having-run-together at him already the rout having-occurred
ἀνελπίστως διέφυγε, προέμενος τὸν ἵππον τοῖς πολεμίοις
unexpectedly he-escaped having-let-go the horse to-the enemy
φάλαρα χρυσᾶ καὶ κόσμον ἄξιον πολλοῦ περικείμενον.
trappings golden and ornament worth much wearing
ταῦτα γὰρ διανεμόμενοι καὶ περὶ τούτων μαχόμενοι πρὸς
these-things for dividing and over these fighting with
ἀλλήλους ἀπελείφθησαν. ἅμα δὲ ἡμέρᾳ παρετάξαντο
each-other they-were-left-behind together-with and day drew-up
μὲν ἀμφότεροι πάλιν ἐκβεβαιούμενοι τὸ νίκημα, Μετέλλου
indeed both again confirming the victory Metellus
δὲ προσιόντος ἀνεχώρησεν ὁ Σερτώριος σκεδασθέντι
but approaching withdrew — Sertorius with-scattered

τῷ στρατῷ. τοιαῦται γὰρ ἦσαν αἱ διαλύσεις καὶ πάλιν
the army such for were the dispersals and again
συνδρομαὶ τῶν ἀνθρώπων ὥστε πολλάκις μόνον πλανᾶσθαι
concourses of-the men so-that often alone to-wander
τὸν Σερτώριον, πολλάκις δὲ αὖθις ἐπιέναι μυριάσι
— Sertorius often and again to-attack with-ten-thousands
πεντεκαίδεκα στρατιᾶς, ὥσπερ χειμάρρουν ἐξαίφνης
fifteen of-army like a-torrent suddenly
πιμπλάμενον. Ὁ δ' οὖν Πομπήϊος, ἐπεὶ μετὰ τὴν μάχην
filling — and then Pompey when after the battle
ἀπήντα τῷ Μετέλλῳ καὶ πλησίον ἀλλήλων ἦσαν, ἐκέλευσεν
he-met — Metellus and near each-other they-were he-bade
ὑφεῖναι τὰς ῥάβδους, θεραπεύων ὡς προὔχοντα τιμῇ τὸν
to-lower the fasces honoring as superior in-rank —
Μέτελλον. ὁ δὲ καὶ τοῦτο διεκώλυσε καὶ τἆλλα χρηστὸς ἦν
Metellus he and also this prevented and in-the-rest good was
ἀνὴρ περὶ αὐτόν, οὐδὲν ὡς ὑπατικῷ καὶ πρεσβυτέρῳ νέμων
a-man toward him nothing as to-a-consular and older assigning
ἑαυτῷ πλέον, ἀλλ' ἢ τὸ σύνθημα κοινῇ στρατοπεδευόντων
to-himself more but than the watchword jointly encamping
εἰς ἅπαντας ἐξεπέμπετο παρὰ Μετέλλου· τὰ πολλὰ δὲ
to all was-sent-out from Metellus the many(-times) and
χωρὶς ἐστρατοπεδεύοντο. διέκοπτε γὰρ αὐτοὺς καὶ διΐστη
apart they-encamped cut-off for them and separated
ποικίλος ὢν ὁ πολέμιος καὶ δεινὸς ἐν βραχεῖ πολλαχοῦ
versatile being the enemy and clever in short-time in-many-places
περιφανῆναι καὶ μεταγαγεῖν ἀπ' ἄλλων εἰς ἄλλους ἀγῶνας.
to-appear and to-draw from some to other contests
τέλος δὲ περικόπτων μὲν ἀγοράς, ληϊζόμενος δὲ τὴν
at-last and cutting-off indeed supplies plundering and the
χώραν, ἐπικρατῶν δὲ τῆς θαλάσσης, ἐξέβαλεν ἀμφοτέρους
country commanding and the sea he-drove-out both

τῆς ὑφ᾽ ἑαυτὸν Ἰβηρίας, ἀναγκασθέντας εἰς ἀλλοτρίας
from-the under himself Iberia compelled to others'
καταφυγεῖν ἐπαρχίας ἀπορίᾳ τῶν ἐπιτηδείων.
to-flee provinces for-want of-the provisions
Πομπήϊος δὲ τὰ πλεῖστα τῶν ἰδίων ἐξανηλωκὼς 20
Pompey and the most of-the private(-means) having-spent
καὶ κατακεχρημένος εἰς τὸν πόλεμον, ᾔτει χρήματα τὴν
and having-used-up on the war asked money of-the
σύγκλητον, ὡς ἀφιξόμενος εἰς Ἰταλίαν μετὰ τῆς
senate saying-that be-would-come to Italy with the
δυνάμεως εἰ μὴ πέμποιεν. ὑπατεύων δὲ Λεύκολλος τότε
force if not they-sent(-it) being-consul and Lucullus then
καὶ Πομπηΐῳ μὲν ὢν διάφορος, μνώμενος δ᾽ ἑαυτῷ τὸν
and to-Pompey indeed being hostile wooing but for-himself the
Μιθριδατικὸν πόλεμον, ἔσπευσεν ἀποσταλῆναι τὰ χρήματα,
Mithridatic war hastened to-be-sent the money
φοβούμενος αἰτίαν Πομπηΐῳ παρασχεῖν δεομένῳ Σερτώριον
fearing occasion to-Pompey to-give wanting Sertorius
ἀφεῖναι καὶ πρὸς Μιθριδάτην τραπέσθαι, λαμπρὸν μὲν εἰς
to-leave and against Mithridates to-turn splendid indeed for
δόξαν, εὐμεταχείριστον δὲ φαινόμενον ἀνταγωνιστήν. ἐν
glory easy-to-handle but appearing an-antagonist in
τούτῳ δὲ θνήσκει Σερτώριος ὑπὸ τῶν φίλων δολοφονηθείς·
this and dies Sertorius by the friends treacherously-murdered
ὧν Περπέννας ὁ κορυφαιότατος ἐπεχείρησεν ἐκείνῳ τὰ
of-whom Perperna the chief attempted that-one's the
αὐτὰ ποιεῖν, ἀπὸ τῶν αὐτῶν μὲν ὁρμώμενος δυνάμεων
same(-things) to-do from the same indeed starting forces
καὶ παρασκευῶν, τὸν δὲ χρώμενον αὐταῖς ὁμοίως οὐκ ἔχων
and resources the but using them likewise not having
λογισμόν. εὐθὺς οὖν ὁ Πομπήϊος ἐπεξελθὼν καὶ
reason at-once then — Pompey having-marched-against(-him) and

ῥεμβόμενον ἐν τοῖς πράγμασι τὸν Περπένναν καταμαθών,
blundering in the affairs — Perperna having-observed
δέλεαρ αὐτῷ δέκα σπείρας ὑφῆκεν, εἰς τὸ πεδίον
as-bait for-him ten cohorts he-let-go into the plain
διασπαρῆναι κελεύσας. τραπομένου δὲ πρὸς ταύτας ἐκείνου
to-be-scattered having-ordered having-turned and against these he
καὶ διώκοντος, ἄθρους ἐπιφανεὶς καὶ συνάψας μάχην
and pursuing in-a-body having-appeared and having-joined battle
ἐκράτησε πάντων. καὶ διεφθάρησαν οἱ πλεῖστοι τῶν
he-overcame all and were-killed the most of-the
ἡγεμόνων ἐν τῇ μάχῃ· τὸν δὲ Περπέννην ἀχθέντα πρὸς
officers in the battle — and Perperna having-been-brought to
αὐτὸν ἀπέκτεινεν, οὐκ ἀχάριστος οὐδ' ἀμνήμων γενόμενος
him he-killed not ungrateful nor unmindful having-been
τῶν περὶ Σικελίαν, ὡς ἐγκαλοῦσιν ἔνιοι, μεγάλῃ
of-the(-things) about Sicily as charge some with-great
δὲ διανοίᾳ καὶ σωτηρίῳ τῶν ὅλων γνώμῃ χρησάμενος.
but intelligence and saving of-the whole judgment having-used
ὁ γὰρ Περπέννας τῶν Σερτωρίου γραμμάτων γεγονὼς
— for Perperna of-the of-Sertorius papers having-become
κύριος ἐδείκνυεν ἐπιστολὰς τῶν ἐν Ῥώμῃ δυνατωτάτων
master was-showing letters of-the in Rome most-powerful
ἀνδρῶν, οἳ τὰ παρόντα κινῆσαι βουλόμενοι πράγματα καὶ
men who the present to-disturb wishing affairs and
μεταστῆσαι τὴν πολιτείαν ἐκάλουν τὸν Σερτώριον εἰς τὴν
to-change the constitution were-inviting — Sertorius into —
Ἰταλίαν. φοβηθεὶς οὖν ὁ Πομπήϊος ταῦτα, μὴ μείζονας
Italy having-feared then — Pompey these-things lest greater
ἀναστήσῃ τῶν πεπαυμένων πολέμων, τόν τε Περπέννην
he-raise than-the ended wars — both Perperna
ἀνεῖλε καὶ τὰς ἐπιστολὰς οὐδ' ἀναγνοὺς κατέκαυσεν.
killed and the letters not-even having-read burned

Ἐκ δὲ τούτου παραμείνας χρόνον ὅσον τὰς μεγίστας 21
from and this having-remained a-time as-much-as the greatest
κατασβέσαι ταραχὰς καὶ τὰ φλεγμαίνοντα μάλιστα
to-quench disturbances and the(-things) inflamed most
καταστῆσαι καὶ διαλῦσαι τῶν πραγμάτων, ἀπῆγεν εἰς
to-settle and to-dissolve of-the affairs he-led-away to
Ἰταλίαν τὸν στρατόν, ἀκμάζοντι τῷ δουλικῷ πολέμῳ
Italy the army at-its-height the servile war
κατὰ τύχην φερόμενος. διὸ καὶ Κράσσος ὁ στρατηγὸς
by chance borne wherefore also Crassus the praetor
ἤπειξε παραβόλως τὴν μάχην, καὶ κατευτύχησε, δισχιλίους
hastened recklessly the battle and succeeded two-thousand
τριακοσίους ἐπὶ μυρίοις κτείνας. οὐ μὴν ἀλλὰ καὶ
three-hundred upon ten-thousand having-killed not indeed but even
τούτῳ τὸν Πομπήϊον εἰσποιούσης ἁμῶς γέ πως
into-this — Pompey introducing in-some-way at-least somehow
τῷ κατορθώματι τῆς τύχης, πεντακισχίλιοι φεύγοντες ἐκ
the success the fortune five-thousand fleeing from
τῆς μάχης ἐνέπεσον εἰς αὐτόν, οὓς ἅπαντας διαφθείρας,
the battle fell-in with him whom all having-destroyed
ἔγραψε πρὸς τὴν σύγκλητον ὑποφθάσας ὡς Κράσσος
he-wrote to the senate anticipating that Crassus
μὲν ἐκ παρατάξεως νενίκηκε τοὺς μονομάχους, αὐτὸς δὲ
indeed in pitched-battle has-conquered the gladiators he and
τὸν πόλεμον ἐκ ῥιζῶν παντάπασιν ἀνῄρηκε. καὶ ταῦτα
the war from the-roots altogether has-abolished and these-things
βουλομένοις ἦν δι᾽ εὔνοιαν ἀκροᾶσθαι καὶ λέγειν τοῖς
to-them-wishing it-was through goodwill to-hear and to-say for-the
Ῥωμαίοις. Ἰβηρίαν δὲ καὶ Σερτώριον οὐδὲ παίζων ἄν
Romans Iberia and and Sertorius not-even in-jest —
τις εἶπεν ἑτέρου καὶ μὴ Πομπηΐου τὸ πᾶν ἔργον εἶναι.
anyone would-say of-another and not of-Pompey the whole work to-be

Ἐν τοσαύτῃ δὲ τιμῇ καὶ προσδοκίᾳ τοῦ ἀνδρὸς ὅμως
in so-great and honor and expectation of-the man nevertheless
ἐνῆν καὶ ὑποψία τις καὶ δέος, ὡς οὐ προησομένου
there-was-in-it also suspicion a and fear that not about-to-give-up
τὸ στράτευμα, βαδιουμένου δὲ δι' ὅπλων καὶ μοναρχίας
the army about-to-go but through arms and monarchy
ἄντικρυς ἐπὶ τὴν Σύλλα πολιτείαν. ὅθεν οὐκ ἐλάττονες ἦσαν
straight to the of-Sulla constitution whence not fewer were
τῶν δι' εὔνοιαν τρεχόντων καὶ φιλοφρονουμένων καθ'
than-those through goodwill running and showing-friendliness along
ὁδὸν οἱ φόβῳ ταῦτα ποιοῦντες. ἐπεὶ δὲ καὶ ταύτην
the-way those through-fear these-things doing when and also this
ἀνεῖλε τὴν ὑπόνοιαν ὁ Πομπήϊος προειπὼν ἀφήσειν
he-removed the suspicion — Pompey having-announced he-would-dismiss
τὸ στράτευμα μετὰ τὸν θρίαμβον, ἓν αἰτιᾶσθαι τοῖς
the army after the triumph one-thing to-blame to-the
βασκαίνουσι περιῆν ὑπόλοιπον, ὅτι τῷ δήμῳ προσνέμει
envious remained left that to-the people he-devotes
μᾶλλον ἑαυτὸν ἢ τῇ βουλῇ, καὶ τὸ τῆς δημαρχίας ἀξίωμα,
rather himself than to-the senate and the of-the tribunate dignity
Σύλλα καταβαλόντος, ἔγνωκεν ἀνιστάναι καὶ χαρίζεσθαι
Sulla having-overthrown(-it) he-has-resolved to-restore and to-gratify
τοῖς πολλοῖς, ὅπερ ἦν ἀληθές. οὐ γὰρ ἔστιν οὕτινος
the many which-indeed was true not for there-is anything-which
ἐμμανέστερον ὁ Ῥωμαίων ἠράσθη δῆμος καὶ μᾶλλον
more-madly the of-the-Romans loved people and more
ἐπόθησεν ἢ τὴν ἀρχὴν αὖθις ἐπιδεῖν ἐκείνην, ὥστε καὶ
longed-for than the office again to-see that so-that also
Πομπήϊον εὐτύχημα ποιεῖσθαι μέγα τὸν τοῦ πολιτεύματος
Pompey a-good-fortune to-reckon great the of-the political-measure

καιρόν, ὡς οὐκ ἂν εὑρόντα χάριν ἄλλην ᾗ τὴν εὔνοιαν
opportunity as not — would-find favor other by-which the goodwill
ἀμείψεται τῶν πολιτῶν, εἰ ταύτην ἕτερος προέλαβε.
he-would-repay of-the citizens if this another had-anticipated
Ψηφισθέντος οὖν αὐτῷ δευτέρου θριάμβου καὶ ὑπατείας οὐ 22
having-been-voted then to-him a-second triumph and consulship not
διὰ ταῦτα θαυμαστὸς ἐδόκει καὶ μέγας, ἀλλ᾽ ἐκεῖνο
on-account-of these-things admirable he-seemed and great but that
τεκμήριον ἐποιοῦντο τῆς λαμπρότητος, ὅτι Κράσσος, ἀνὴρ
evidence they-made of-his splendor that Crassus a-man
τῶν τότε πολιτευομένων πλουσιώτατος καὶ δεινότατος
of-those then engaging-in-politics richest and most-able
εἰπεῖν καὶ μέγιστος, αὐτόν τε Πομπήϊον ὑπερφρονῶν καὶ
to-speak and greatest himself both Pompey despising and
τοὺς ἄλλους ἅπαντας, οὐκ ἐθάρρησεν ὑπατείαν μετιέναι
the others all not dared the-consulship to-seek
πρότερον ἢ Πομπηΐου δεηθῆναι. καὶ μέντοι Πομπήϊος
before than of-Pompey to-ask and however Pompey
ἠγάπησε, πάλαι δεόμενος χρείας τινὸς ὑπάρξαι καὶ
was-pleased long wanting a-service some to-render and
φιλανθρωπίας πρὸς αὐτόν· ὥστε καὶ δεξιοῦσθαι προθύμως
kindness toward him so-that both to-greet(-him) eagerly
καὶ παρακαλεῖν τὸν δῆμον, ἐπαγγελλόμενος χάριν ἕξειν
and to-appeal-to the people promising gratitude he-would-have
οὐκ ἐλάττονα τοῦ συνάρχοντος ἢ τῆς ἀρχῆς. οὐ μὴν ἀλλ᾽
not less for-the colleague than for-the office not indeed but
ἀποδειχθέντες ὕπατοι διεφέροντο πάντα καὶ προσέκρουον
having-been-appointed consuls they-differed in-all-things and clashed
ἀλλήλοις· καὶ ἐν μὲν τῇ βουλῇ μᾶλλον ἴσχυεν ὁ Κράσσος,
with-each-other and in indeed the senate more was-strong — Crassus
ἐν δὲ τῷ δήμῳ μέγα τὸ Πομπηΐου κράτος ἦν. καὶ γὰρ
in and the people great the of-Pompey power was and for

ἀπέδωκε τὴν δημαρχίαν αὐτῷ, καὶ τὰς δίκας περιεῖδεν
he-restored the tribunate to-it and the courts he-allowed
αὖθις εἰς τοὺς ἱππέας νόμῳ μεταφερομένας. ἥδιστον δὲ
again to the knights by-law being-transferred most-pleasant and
θέαμα τῷ δήμῳ παρέσχεν αὐτὸς ἑαυτὸν τὴν στρατείαν
spectacle to-the people furnished he himself the military-service
παραιτούμενος. Ἔθος γάρ ἐστι Ῥωμαίων τοῖς ἱππεῦσιν,
asking-release-from custom for it-is of-Romans for-the knights
ὅταν στρατεύσωνται τὸν νόμιμον χρόνον, ἄγειν εἰς ἀγορὰν
whenever they-have-served the lawful time to-lead into forum
τὸν ἵππον ἐπὶ τοὺς δύο ἄνδρας οὓς τιμητὰς καλοῦσι,
the horse before the two men whom censors they-call
καὶ καταριθμησαμένους τῶν στρατηγῶν καὶ αὐτοκρατόρων
and having-enumerated of-the generals and imperators
ἕκαστον ὑφ᾽ οἷς ἐστρατεύσαντο, καὶ δόντας εὐθύνας
each under whom they-served and having-given an-account
τῆς στρατείας ἀφίεσθαι. νέμεται δὲ καὶ τιμὴ καὶ ἀτιμία
of-the service to-be-dismissed is-assigned and both honor and dishonor
προσήκουσα τοῖς βίοις ἑκάστων. Τότε δὴ προεκάθηντο
befitting to-the lives of-each then indeed were-sitting
μὲν οἱ τιμηταὶ Γέλλιος καὶ Λέντλος ἐν κόσμῳ, καὶ
indeed the censors Gellius and Lentulus in state and
πάροδος ἦν τῶν ἱππέων ἐξεταζομένων, ὤφθη δὲ Πομπήϊος
a-procession was of-the knights being-reviewed was-seen and Pompey
ἄνωθεν ἐπ᾽ ἀγορὰν κατερχόμενος, τὰ μὲν ἄλλα παράσημα
from-above to forum coming-down the indeed other insignia
τῆς ἀρχῆς ἔχων, αὐτὸς δὲ διὰ χειρὸς ἄγων τὸν ἵππον. ὡς
of-the office having he and by hand leading the horse when
δ᾽ ἐγγὺς ἦν καὶ καταφανὴς ἐγεγόνει, κελεύσας διασχεῖν
and near he-was and visible had-become having-ordered to-part
τοὺς ῥαβδοφόρους τῷ βήματι προσήγαγε τὸν ἵππον. ἦν
the lictors to-the tribunal he-led-up the horse was

δὲ τῷ δήμῳ θαῦμα καὶ σιωπὴ πᾶσα, τούς τε ἄρχοντας
and among-the people wonder and silence all the and magistrates
αἰδὼς ἅμα καὶ χαρὰ πρὸς τὴν ὄψιν ἔσχεν. εἶτα ὁ μὲν
shame at-once and joy at the sight took then the indeed
πρεσβύτερος ἠρώτησε· "Πυνθάνομαί σου, ὦ Πομπήϊε Μάγνε,
elder asked I-inquire of-you O Pompey Magnus
εἰ πάσας ἐστράτευσαι τὰς κατὰ νόμον στρατείας;"
whether all you-have-served the according-to law campaigns
Πομπήϊος δὲ μεγάλῃ φωνῇ, "Πάσας," εἶπεν, "ἐστράτευμαι,
Pompey and in-a-great voice all he-said I-have-served
καὶ πάσας ὑπ' ἐμαυτῷ αὐτοκράτορι." τοῦτο ἀκούσας ὁ
and all under myself as-imperator this having-heard the
δῆμος ἐξέκραγε, καὶ κατασχεῖν οὐκέτι τὴν βοὴν ὑπὸ χαρᾶς
people shouted-out and to-hold-back no-longer the cry from joy
ἦν, ἀλλ' ἀναστάντες οἱ τιμηταὶ προέπεμπον αὐτὸν
was-possible but having-stood-up the censors escorted him
οἴκαδε, χαριζόμενοι τοῖς πολίταις ἑπομένοις καὶ κροτοῦσιν.
home gratifying the citizens following and applauding
Ἤδη δὲ τῆς ἀρχῆς περαινομένης τῷ Πομπηΐῳ, τῆς δὲ 23
already and the office being-completed — for-Pompey the and
πρὸς Κράσσον αὐξομένης διαφορᾶς, Γάϊός τις Αὐρήλιος,
with Crassus growing difference Gaius a Aurelius
ἀξίωμα μὲν ἱππικὸν ἔχων, βίῳ δὲ ἀπράγμονι κεχρημένος,
rank indeed equestrian having life but quiet having-led
ἐκκλησίας οὔσης ἀναβὰς ἐπὶ τὸ βῆμα καὶ προσελθὼν
an-assembly being having-gone-up onto the tribunal and having-come-forward
ἔφη κατὰ τοὺς ὕπνους αὐτῷ τὸν Δία φανῆναι, κελεύοντα
said in the dreams to-him — Zeus to-have-appeared bidding
τοῖς ὑπάτοις φράσαι μὴ πρότερον ἀποθέσθαι τὴν ἀρχὴν ἢ
the consuls to-tell not before to-lay-down the office than
φίλους ἀλλήλοις γενέσθαι. ῥηθέντων δὲ τούτων ὁ μὲν
friends to-each-other to-become having-been-spoken and these-things — indeed

Πομπήϊος ἡσυχίαν ἦγεν ἑστώς, ὁ δὲ Κράσσος ἀρξάμενος
Pompey quiet kept standing — and Crassus having-begun
δεξιοῦσθαι καὶ προσαγορεύειν αὐτόν, "Οὐδέν," εἶπεν,
to-greet and to-address him nothing he-said
"οἶμαι ποιεῖν ἀγεννὲς οὐδὲ ταπεινόν, ὦ πολῖται, Πομπηΐῳ
I-think I-do ignoble nor humble O citizens to-Pompey
πρότερος ἐνδιδούς, ὃν ὑμεῖς μήπω μὲν γενειῶντα Μέγαν
first yielding whom you not-yet indeed bearded Great
ἠξιώσατε καλεῖν, μήπω δὲ μετέχοντι βουλῆς ἐψηφίσασθε
thought-fit to-call not-yet and sharing-in the-senate voted
δύο θριάμβους." ἐκ τούτου διαλλαγέντες ἀπέθεντο τὴν
two triumphs from this having-been-reconciled they-laid-down the
ἀρχήν. Καὶ Κράσσος μὲν ὅπερ ἐξ ἀρχῆς εἵλετο τρόπον
office and Crassus indeed which-very from beginning he-chose manner
τοῦ βίου διεφύλαττε, Πομπήϊος δὲ τάς τε πολλὰς ἀνεδύετο
of-the life kept Pompey and the and many withdrew-from
συνηγορίας καὶ τὴν ἀγορὰν κατὰ μικρὸν ἀπέλειπε καὶ
advocacies and the forum by little left and
προῄει σπανίως εἰς τὸ δημόσιον, ἀεὶ δὲ μετὰ πλήθους. οὐ
went-forth rarely into the public always and with a-crowd not
γὰρ ἦν ἔτι ῥᾴδιον ὄχλου χωρὶς ἐντυχεῖν οὐδ' ἰδεῖν αὐτόν,
for was any-longer easy a-crowd without to-meet nor to-see him
ἀλλ' ἥδιστος ὁμοῦ πολλοῖς καὶ ἀθρόοις ἐφαίνετο, σεμνότητα
but most-pleased together with-many and thronged he-appeared dignity
περιβαλλόμενος ἐκ τούτου τῇ ὄψει καὶ ὄγκον, ταῖς
putting-around from this to-the appearance and weight with-the
δὲ τῶν πολλῶν ἐντεύξεσι καὶ συνηθείαις ἄθικτον οἰόμενος
and of-the many encounters and familiarities untouched thinking
δεῖν τὸ ἀξίωμα διατηρεῖν. ὁ γὰρ ἐν ἱματίῳ βίος
it-necessary the dignity to-preserve the for in toga life
ἐπισφαλής ἐστι πρὸς ἀδοξίαν τοῖς ἐκ τῶν ὅπλων
precarious is toward disrepute for-those from the arms

μεγάλοις καὶ πρὸς ἰσότητα δημοτικὴν ἀσυμμέτροις· αὐτοὶ
great and for equality popular unfitted they
μὲν γὰρ καὶ ἐνταῦθα πρωτεύειν, ὡς ἐκεῖ, δικαιοῦσι, τοῖς
indeed for also here to-be-first as there claim for-those
δὲ ἐκεῖ φερομένοις ἔλαττον ἐνταῦθα γοῦν μὴ πλέον ἔχειν
and there carried less here at-least not more to-have
οὐκ ἀνεκτόν ἐστι. διὸ τὸν ἐν στρατοπέδοις καὶ θριάμβοις
not tolerable is wherefore the in camps and triumphs
λαμπρόν, ὅταν ἐν ἀγορᾷ λάβωσιν, ὑπὸ χεῖρα ποιοῦνται
brilliant whenever in forum they-get under hand they-make
καὶ καταβάλλουσι, τῷ δὲ ἀπολεγομένῳ καὶ ὑποχωροῦντι
and throw-down to-the and declining and withdrawing
τὴν ἐκεῖ τιμὴν καὶ δύναμιν ἀνεπίφθονον φυλάττουσιν.
the there honor and power unenvied they-keep
ἐδήλωσε δὲ αὐτὰ τὰ πράγματα μετ᾽ ὀλίγον χρόνον.
showed and themselves the affairs after little time

VI · THE WAR ON THE PIRATES

The pirates, grown bold since the Mithridatic war, command the sea, sack temples, kidnap praetors, and mock captive Romans before drowning them. Gabinius' law gives Pompey command of the whole sea and its coasts; the people cheer, the senate resists, and Catulus, asking whom they would have if they lost Pompey, is answered, "You yourself." Pompey divides the sea into thirteen districts, clears the west in forty days, and within three months ends the war, settling the surrendered pirates as farmers at Soli and Dyme.

Ἡ γὰρ πειρατικὴ δύναμις ὡρμήθη μὲν ἐκ Κιλικίας τὸ 24
the for piratical power started indeed from Cilicia the
πρῶτον, ἀρχὴν παράβολον λαβοῦσα καὶ λανθάνουσαν,
first beginning reckless having-taken and unnoticed

φρόνημα δὲ καὶ τόλμαν ἔσχεν ἐν τῷ Μιθριδατικῷ
spirit and and daring got in the Mithridatic
πολέμῳ, χρήσασα ταῖς βασιλικαῖς ὑπηρεσίαις ἑαυτήν. εἶτα
war having-lent to-the royal services itself then
Ῥωμαίων ἐν τοῖς ἐμφυλίοις πολέμοις περὶ θύρας τῆς
Romans in the civil wars around doors —
Ῥώμης συμπεσόντων, ἔρημος οὖσα φρουρᾶς ἡ θάλασσα
of-Rome having-clashed empty being of-guard the sea
κατὰ μικρὸν αὐτοὺς ἐφείλκετο καὶ προῆγεν, οὐκέτι τοῖς
by little them drew-on and led-forward no-longer on-the
πλέουσι μόνον ἐπιτιθεμένους, ἀλλὰ καὶ νήσους καὶ πόλεις
sailing only attacking but also islands and cities
παραλίους ἐκκόπτοντας. ἤδη δὲ καὶ χρήμασι δυνατοὶ
coastal sacking already and also in-wealth powerful
καὶ γένεσι λαμπροὶ καὶ τὸ φρονεῖν ἀξιούμενοι διαφέρειν
and in-birth illustrious and the in-intelligence thought-worthy to-excel
ἄνδρες ἐνέβαινον εἰς τὰ λῃστρικὰ καὶ μετεῖχον, ὡς
men embarked into the piratical-ventures and shared as
καὶ δόξαν τινὰ καὶ φιλοτιμίαν τοῦ ἔργου φέροντος. ἦν
also glory some and distinction the work bringing were
δὲ καὶ ναύσταθμα πολλαχόθι πειρατικὰ καὶ φρυκτώρια
and also anchorages in-many-places piratical and beacon-towers
τετειχισμένα, καὶ στόλοι προσέπιπτον οὐ πληρωμάτων
walled and fleets put-in not of-crews
μόνον εὐανδρίαις οὐδὲ τέχναις κυβερνητῶν οὐδὲ τάχεσι
only with-good-manning nor with-skills of-pilots nor with-speeds
νεῶν καὶ κουφότησιν ἐξησκημένοι πρὸς τὸ οἰκεῖον ἔργον,
of-ships and lightnesses equipped for the proper work
ἀλλὰ τοῦ φοβεροῦ μᾶλλον αὐτῶν τὸ ἐπίφθονον ἐλύπει
but than-the fearsome more of-them the odious grieved
καὶ ὑπερήφανον, στυλίσι χρυσαῖς καὶ παραπετάσμασιν
and arrogant with-stern-masts golden and awnings

ἁλουργοῖς καὶ πλάταις ἐπαργύροις, ὥσπερ ἐντρυφώντων
purple and oars silvered as-if reveling
τῷ κακουργεῖν καὶ καλλωπιζομένων. αὐλοὶ δὲ καὶ ψαλμοὶ
in-the doing-evil and priding-themselves pipes and and harpings
καὶ μέθαι παρὰ πᾶσαν ἀκτὴν καὶ σωμάτων ἡγεμονικῶν
and drinking-bouts along every shore and of-persons in-command
ἁρπαγαὶ καὶ πόλεων αἰχμαλώτων ἀπολυτρώσεις ὄνειδος
seizures and of-cities captured ransomings disgrace
ἦσαν τῆς Ῥωμαίων ἡγεμονίας. ἐγένοντο δ' οὖν αἱ μὲν
were of-the of-Romans supremacy were and then the indeed
λῃστρίδες νῆες ὑπὲρ χιλίας, αἱ δὲ ἁλοῦσαι πόλεις ὑπ'
piratical ships above thousand the and captured cities by
αὐτῶν τετρακόσιαι. τῶν δὲ ἀσύλων καὶ ἀβάτων πρότερον
them four-hundred of-the and inviolable and untrodden formerly
ἱερῶν ἐξέκοψαν ἐπιόντες τὸ Κλάριον, τὸ Διδυμαῖον, τὸ
temples they-sacked attacking the Clarian the Didymaean the
Σαμοθρᾴκιον, τὸν ἐν Ἑρμιόνῃ τῆς Χθονίας νεὼν καὶ
Samothracian the in Hermione — of-Chthonia temple and
τὸν ἐν Ἐπιδαύρῳ τοῦ Ἀσκληπιοῦ καὶ τὸν Ἰσθμοῖ
the in Epidaurus — of-Asclepius and the at-the-Isthmus
καὶ Ταινάρῳ καὶ Καλαυρίᾳ τοῦ Ποσειδῶνος, τοῦ δὲ
and Taenarum and Calauria — of-Poseidon — and
Ἀπόλλωνος τὸν ἐν Ἀκτίῳ καὶ Λευκάδι, τῆς δὲ Ἥρας
of-Apollo the at Actium and Leucas — and of-Hera
τὸν ἐν Σάμῳ, τὸν ἐν Ἄργει, τὸν ἐπὶ Λακινίῳ. ξένας δὲ
the in Samos the in Argos the at Lacinium strange and
θυσίας ἔθυον αὐτοὶ τὰς ἐν Ὀλύμπῳ, καὶ τελετάς τινας
sacrifices sacrificed they the at Olympus and rites some
ἀπορρήτους ἐτέλουν, ὧν ἡ τοῦ Μίθρου καὶ μέχρι δεῦρο
secret celebrated of-which the — of-Mithras even until now
διασώζεται καταδειχθεῖσα πρῶτον ὑπ' ἐκείνων. Πλεῖστα
is-preserved having-been-taught first by them very-many

δὲ Ῥωμαίοις ἐνυβρίσαντες, ἔτι καὶ τὰς ὁδοὺς αὐτῶν
and on-Romans having-insulted still also the roads of-them
ἀναβαίνοντες ἀπὸ θαλάσσης ἐληΐζοντο καὶ τὰς ἐγγὺς
going-up from sea they-plundered and the near
ἐπαύλεις ἐξέκοπτον. ἥρπασαν δέ ποτε καὶ στρατηγοὺς δύο
villas sacked they-seized and once also praetors two
Σεξτίλιον καὶ Βελλῖνον ἐν ταῖς περιπορφύροις, καὶ τοὺς
Sextilius and Bellinus in the purple-bordered(-robes) and the
ὑπηρέτας ἅμα καὶ ῥαβδοφόρους ᾤχοντο σὺν αὐτοῖς ἐκείνοις
attendants at-once and lictors went-off with them themselves
ἔχοντες. ἥλω δὲ καὶ θυγάτηρ Ἀντωνίου, θριαμβικοῦ
holding was-captured and also daughter of-Antonius of-a-triumphal
ἀνδρός, εἰς ἀγρὸν βαδίζουσα, καὶ πολλῶν χρημάτων
man to country-house walking and for-much money
ἀπελυτρώθη. ἐκεῖνο δὲ ἦν ὑβριστικώτατον. ὁπότε γάρ
was-ransomed that and was most-insolent whenever for
τις ἑαλωκὼς ἀναβοήσειε Ῥωμαῖος εἶναι καὶ τοὔνομα
anyone captured cried-out Roman to-be and the-name
φράσειεν, ἐκπεπλῆχθαι προσποιούμενοι καὶ δεδιέναι τούς
told to-be-struck pretending and to-fear the
τε μηροὺς ἐπαίοντο καὶ προσέπιπτον αὐτῷ, συγγνώμην
and thighs they-smote and fell-before him pardon
ἔχειν ἀντιβολοῦντες· ὁ δὲ ἐπείθετο ταπεινοὺς ὁρῶν καὶ
to-have begging he and was-persuaded humble seeing(-them) and
δεομένους. ἐκ τούτου δὲ οἱ μὲν ὑπέδουν τοῖς καλκίοις
entreating from this and the ones shod with-the shoes
αὐτόν, οἱ δὲ τήβεννον περιέβαλλον, ὡς δὴ μὴ πάλιν
him the others a-toga threw-around that indeed not again
ἀγνοηθείη. πολὺν δὲ χρόνον οὕτω κατειρωνευσάμενοι
he-be-unrecognized much and time thus having-mocked
καὶ ἀπολαύσαντες τοῦ ἀνθρώπου, τέλος ἐν μέσῳ πελάγει
and having-enjoyed the man finally in mid sea

κλίμακα προσβαλόντες ἐκέλευον ἐκβαίνειν καὶ ἀπιέναι
a-ladder having-let-down they-bade to-step-off and to-go-away
χαίροντα, τὸν δὲ μὴ βουλόμενον ὠθοῦντες αὐτοὶ κατέδυον.
rejoicing the and not willing pushing they drowned
Ἐπενείματο δὲ ἡ δύναμις αὕτη πᾶσαν ὁμοῦ τι τὴν 25
grazed-over and the power this all nearly something the
καθ' ἡμᾶς θάλασσαν, ὥστε ἄπλουν καὶ ἄβατον ἐμπορίᾳ
along us sea so-that unnavigable and untrodden for-commerce
πάσῃ γενέσθαι, τοῦτο δὴ μάλιστα Ῥωμαίους ἐπέστρεψε,
all to-become this indeed most Romans turned
θλιβομένους τῇ ἀγορᾷ καὶ σπάνιν μεγάλην προσδοκῶντας,
pressed in-the market and scarcity great expecting
ἐκπέμψαι Πομπήϊον ἀφαιρησόμενον τῶν πειρατῶν τὴν
to-send-out Pompey to-take-away from-the pirates the
θάλασσαν. ἔγραψε δὲ Γαβίνιος, εἷς τῶν Πομπηΐου συνήθων,
sea wrote and Gabinius one of-the of-Pompey intimates
νόμον οὐ ναυαρχίαν, ἄντικρυς δὲ μοναρχίαν αὐτῷ διδόντα
a-law not an-admiralty outright but a-monarchy to-him giving
καὶ δύναμιν ἐπὶ πάντας ἀνθρώπους ἀνυπεύθυνον. ἐδίδου
and power over all men unaccountable gave
γὰρ ἄρχειν ὁ νόμος αὐτῷ τῆς ἐντὸς Ἡρακλείων στηλῶν
for to-rule the law to-him of-the within of-Heracles pillars
θαλάσσης, ἠπείρου δὲ πάσης ἐπὶ σταδίους τετρακοσίους
sea of-mainland and all to stades four-hundred
ἀπὸ θαλάσσης. τοῦτο δὲ οὐ πάνυ πολλὰ χωρία τῆς
from sea this and not very many places of-the
ὑπὸ Ῥωμαίων οἰκουμένης τὸ μέτρον ἐξέφυγεν, ἀλλὰ τὰ
by Romans inhabited-world the measure escaped but the
μέγιστα τῶν ἐθνῶν καὶ τῶν βασιλέων οἱ δυνατώτατοι
greatest of-the nations and of-the kings the most-powerful
περιελαμβάνοντο. πρὸς δὲ τούτοις ἑλέσθαι πεντεκαίδεκα
were-included besides and these to-choose fifteen

πρεσβευτὰς αὐτὸν ἐκ βουλῆς ἐπὶ τὰς κατὰ μέρος ἡγεμονίας,
legates him from senate for the in part commands
χρήματα δὲ λαμβάνειν ἐκ τῶν ταμιείων καὶ παρὰ τῶν
money and to-take from the treasuries and from the
τελωνῶν ὅσα βούλοιτο καὶ ναῦς διακοσίας, κύριον ὄντα
tax-farmers as-much-as he-might-wish and ships two-hundred master being
πλήθους καὶ καταλόγου στρατιᾶς καὶ πληρωμάτων ἐρετικῶν.
of-number and enlistment of-army and of-crews of-rowers
Ἀναγνωσθέντων δὲ τούτων ὁ μὲν δῆμος ὑπερφυῶς
having-been-read and these-things the indeed people exceedingly
ἐδέξατο, τῆς δὲ συγκλήτου τοῖς μεγίστοις καὶ δυνατωτάτοις
received(-them) of-the but senate to-the greatest and most-powerful
ἔδοξε μεῖζον μὲν φθόνου, φόβου δὲ ἄξιον εἶναι τὸ τῆς
it-seemed greater indeed than-envy of-fear and worthy to-be the of-the
ἐξουσίας ἀπερίληπτον καὶ ἀόριστον. ὅθεν ἐνίσταντο τῷ νόμῳ,
authority unlimited and undefined whence they-opposed the law
πλὴν Καίσαρος· οὗτος δὲ συνηγόρει τῷ νόμῳ, Πομπηΐου
except Caesar this-man and supported the law Pompey
μὲν ἐλάχιστα φροντίζων, ὑποδυόμενος δὲ τὸν δῆμον ἐξ
indeed least caring insinuating-himself-into and the people from
ἀρχῆς ἑαυτῷ καὶ κτώμενος. οἱ δὲ ἄλλοι τοῦ Πομπηΐου
beginning for-himself and winning(-it) the and others — Pompey
σφοδρῶς καθήπτοντο. καὶ τῶν μὲν ὑπάτων ἄτερος, εἰπὼν
violently attacked and of-the indeed consuls the-one having-said
πρὸς αὐτὸν ὅτι Ῥωμύλον ζηλῶν οὐ φεύξεται ταὐτὸν ἐκείνῳ
to him that Romulus emulating not he-will-escape the-same as-that-one
τέλος, ἐκινδύνευσεν ὑπὸ τοῦ πλήθους διαφθαρῆναι· Κάτλου
end was-in-danger by the multitude to-be-destroyed of-Catulus
δὲ κατὰ τοῦ νόμου προσελθόντος, πολλὴν μὲν αἰδούμενος
and against the law having-come-forward much indeed respecting(-him)
ὁ δῆμος ἡσυχίαν παρεῖχεν, ἐπεὶ δὲ πολλὰ μετὰ τιμῆς
the people silence offered when and many-things with honor

ἀνεπιφθόνως ὑπὲρ τοῦ Πομπηΐου διελθὼν συνεβούλευε
unenviously on-behalf-of — Pompey having-gone-through he-advised
φείδεσθαι καὶ μὴ προβάλλειν τοιοῦτον ἄνδρα κινδύνοις
to-spare(-him) and not to-expose such a-man to-dangers
ἐπαλλήλοις καὶ πολέμοις, "Ἤ τίνα," εἶπεν, "ἕξετε ἄλλον,
successive and wars or whom he-said will-you-have another
ἂν ἀπολέσητε τοῦτον;" ἐκ μιᾶς γνώμης ὑπεφώνησαν
if you-lose this(one) from one mind answered
ἅπαντες, "Σὲ αὐτόν." ὁ μὲν οὖν Κάτλος, ὡς οὐκ ἔπειθεν,
all you yourself — indeed then Catulus as not he-persuaded
ἀπέστη· Ῥωσκίου δὲ προσελθόντος οὐδεὶς ἤκουσεν· ὁ
withdrew of-Roscius and having-come-forward nobody listened he
δὲ τοῖς δακτύλοις διεσήμαινε μὴ μόνον, ἀλλὰ δεύτερον
and with-the fingers signaled not alone but second
αἱρεῖσθαι Πομπήϊον. ἐπὶ τούτῳ λέγεται δυσχεράναντα τὸν
to-choose Pompey at this it-is-said annoyed the
δῆμον τηλικοῦτον ἀνακραγεῖν ὥστε ὑπερπετόμενον κόρακα
people so-great to-have-shouted so-that flying-over a-crow
τῆς ἀγορᾶς τυφωθῆναι καὶ καταπεσεῖν εἰς τὸν ὄχλον.
the forum to-be-stunned and to-fall into the crowd
ὅθεν οὐ δοκεῖ ῥήξει τοῦ ἀέρος καὶ διασπασμῷ κενὸν
whence not it-seems by-a-rupture of-the air and by-a-rending void
πολὺ λαμβάνοντος ἐνολισθαίνειν τὰ πίπτοντα τῶν ὀρνέων,
much taking-in to-slip-in the falling of-the birds
ἀλλὰ τυπτόμενα τῇ πληγῇ τῆς φωνῆς, ὅταν ἐν τῷ
but struck by-the blow of-the voice whenever in the
ἀέρι σάλον καὶ κῦμα ποιήσῃ πολλὴ καὶ ἰσχυρὰ φερομένη.
air tossing and wave it-makes much and strong borne
Τότε μὲν οὖν διελύθησαν· ᾗ δὲ ἡμέρᾳ τὴν ψῆφον 26
then indeed then they-broke-up on-which and day the vote
ἐποίσειν ἔμελλον, ὑπεξῆλθεν ὁ Πομπήϊος εἰς ἀγρόν.
to-cast they-were-about slipped-away — Pompey to the-country

ἀκούσας δὲ κεκυρῶσθαι τὸν νόμον εἰσῆλθε νύκτωρ εἰς
having-heard and to-have-been-ratified the law he-entered by-night into
τὴν πόλιν, ὡς ἐπιφθόνου τῆς πρὸς αὐτὸν ἀπαντήσεως
the city as invidious of-the toward him meeting
καὶ συνδρομῆς ἐσομένης. ἅμα δὲ ἡμέρᾳ προελθὼν
and concourse going-to-be together-with and day having-gone-forth
ἔθυσε· καὶ γενομένης ἐκκλησίας αὐτῷ, διεπράξατο
he-sacrificed and having-been-held an-assembly for-him he-managed
προσλαβεῖν ἕτερα πολλὰ τοῖς ἐψηφισμένοις ἤδη,
to-obtain-besides other many-things to-what-had been-voted already
μικροῦ διπλασιάσας τὴν παρασκευήν. πεντακόσιαι μὲν
nearly having-doubled the armament five-hundred indeed
γὰρ αὐτῷ νῆες ἐπληρώθησαν, ὁπλιτῶν δὲ μυριάδες
for for-him ships were-manned of-hoplites and ten-thousands
δώδεκα καὶ πεντακισχίλιοι ἱππεῖς ἠθροίσθησαν. ἡγεμονικοὶ
twelve and five-thousand horsemen were-gathered commanders
δὲ καὶ στρατηγικοὶ κατελέγησαν ἀπὸ βουλῆς ἄνδρες
and and generals were-enrolled from senate men
εἰκοσιτέσσαρες ὑπ᾽ αὐτοῦ, δύο δὲ ταμίαι παρῆσαν. αἱ
twenty-four by him two and quaestors were-present the
δὲ τιμαὶ τῶν ὠνίων εὐθὺς πεσοῦσαι λόγον ἡδομένῳ τῷ
and prices of-the goods at-once having-fallen reason being-pleased to-the
δήμῳ παρεῖχον, ὡς αὐτὸ τοὔνομα τοῦ Πομπηΐου λέλυκε
people furnished that itself the-name — of-Pompey has-ended
τὸν πόλεμον. Οὐ μὴν ἀλλὰ διελὼν τὰ πελάγη καὶ τὸ
the war not indeed but having-divided the seas and the
διάστημα τῆς ἐντὸς θαλάσσης εἰς μέρη τρισκαίδεκα, καὶ
extent of-the inner sea into parts thirteen and
νεῶν ἀριθμὸν ἐφ᾽ ἑκάστῳ καὶ ἄρχοντα τάξας, ἅμα
of-ships a-number over each and a-commander having-assigned at-once
πανταχοῦ τῇ δυνάμει σκεδασθείσῃ τὰ μὲν ἐμπίπτοντα
everywhere with-the force scattered the indeed falling-in-with

τῶν πειρατικῶν ἀθρόα περιλαμβάνων εὐθὺς ἐξεθηρᾶτο καὶ
of-the pirates in-bodies surrounding at-once he-hunted-down and
κατῆγεν· οἱ δὲ φθάσαντες διαλυθῆναι καὶ διεκπεσόντες
brought-to-port those and having-anticipated to-disperse and having-escaped
ὥσπερ εἰς σμῆνος ἐδύοντο πανταχόθεν καταφερόμενοι τὴν
as-if into a-hive plunged from-all-sides streaming-down —
Κιλικίαν, ἐφ' οὓς αὐτὸς ἐστέλλετο ναῦς ἔχων ἑξήκοντα
Cilicia against whom he set-out ships having sixty
τὰς ἀρίστας. οὐ μὴν πρότερον ἐπ' ἐκείνους ἐξέπλευσεν ἢ
the best not indeed earlier against them he-sailed than
παντάπασι καθῆραι τῶν αὐτόθι λῃστηρίων τὸ Τυρρηνικὸν
altogether to-clear of-the there robber-bands the Tyrrhenian
πέλαγος, τὸ Λιβυκόν, τὸ περὶ Σαρδόνα καὶ Κύρνον καὶ
sea the Libyan the around Sardinia and Corsica and
Σικελίαν, ἡμέραις τεσσαράκοντα ταῖς πάσαις, αὐτῷ τε
Sicily in-days forty the all himself both
χρώμενος ἀτρύτῳ καὶ τοῖς στρατηγοῖς προθύμοις.
using untiring and the generals eager
Ἐν δὲ Ῥώμῃ τοῦ ὑπάτου Πείσωνος ὀργῇ καὶ 27
in and Rome the consul Piso with-anger and
φθόνῳ λυμαινομένου τὴν παρασκευὴν καὶ διαλύοντος τὰ
with-envy damaging the armament and disbanding the
πληρώματα, τὸ μὲν ναυτικὸν εἰς Βρεντέσιον περιέπεμψεν,
crews the indeed fleet to Brundisium he-sent-round
αὐτὸς δὲ διὰ Τυρρηνίας εἰς Ῥώμην ἀνέβαινεν. αἰσθόμενοι
he and through Etruria to Rome went-up having-perceived
δὲ πάντες ἐξεχύθησαν εἰς τὴν ὁδόν, ὥσπερ οὐ πρὸ
and all poured-out onto the road as-if not before
ἡμερῶν ὀλίγων ἐκπέμψαντες αὐτόν. ἐποίει δὲ τὴν χαρὰν
days few having-sent-forth him caused and the joy
τὸ παρ' ἐλπίδα τῆς μεταβολῆς τάχος, ὑπερβάλλουσαν
the beyond hope of-the change speed overflowing

ἀφθονίαν τῆς ἀγορᾶς ἐχούσης. ὅθεν ὁ Πείσων ἐκινδύνευσε
abundance the market having whence — Piso was-in-danger
τὴν ὑπατείαν ἀφαιρεθῆναι, Γαβινίου νόμον ἔχοντος ἤδη
the consulship to-be-deprived-of of-Gabinius a-law having already
συγγεγραμμένον. ἀλλὰ καὶ τοῦτο διεκώλυσεν ὁ Πομπήϊος,
drafted but also this prevented — Pompey
καὶ τἆλλα χρηματίσας ἐπιεικῶς καὶ διαπραξάμενος ὧν
and the-rest having-transacted fairly and having-accomplished what
ἐδεῖτο, καταβὰς εἰς Βρεντέσιον ἐξέπλευσεν. ἐπειγόμενος
he-needed having-gone-down to Brundisium he-sailed-out pressed
δὲ τῷ καιρῷ καὶ παραπλέων τὰς πόλεις ὑπὸ σπουδῆς,
and by-the occasion and sailing-past the cities with haste
ὅμως οὐ παρῆλθε τὰς Ἀθήνας, ἀναβὰς δὲ καὶ
nevertheless not passed-by — Athens having-gone-up and and
θύσας τοῖς θεοῖς καὶ προσαγορεύσας τὸν δῆμον εὐθὺς
having-sacrificed to-the gods and having-addressed the people at-once
ἀπιὼν ἀνεγίνωσκεν εἰς αὐτὸν ἐπιγεγραμμένα μονόστιχα,
departing he-read for him inscribed one-line-verses
τὸ μὲν ἐντὸς τῆς πύλης· Ἐφ' ὅσον ὢν ἄνθρωπος οἶδας,
the one inside of-the gate as far being a-man you-know
ἐπὶ τοσοῦτον εἶ θεός· τὸ δ' ἐκτός· Προσεδοκῶμεν,
to so-much you-are a-god the and outside we-expected
προσεκυνοῦμεν, εἴδομεν, προπέμπομεν. ἐπεὶ δὲ τῶν
we-worshiped we-saw we-escort when and of-the
συνεστώτων ἔτι καὶ πλανωμένων ἔξω πειρατηρίων ἐνίοις
banded-together still and wandering outside pirate-bands to-some
δεηθεῖσιν ἐπιεικῶς ἐχρήσατο καὶ παραλαβὼν τὰ πλοῖα
having-entreated fairly he-dealt and having-taken-over the vessels
καὶ τὰ σώματα κακὸν οὐδὲν ἐποίησεν, ἐπ' ἐλπίδος χρηστῆς
and the persons harm no did on hope good
οἱ λοιποὶ γενόμενοι τοὺς μὲν ἄλλους διέφευγον ἡγεμόνας,
the rest having-come the indeed other fled commanders

Πομπηΐῳ δὲ φέροντες ἑαυτοὺς μετὰ τέκνων καὶ γυναικῶν
to-Pompey and bringing themselves with children and wives
ἐνεχείριζον. ὁ δὲ πάντων ἐφείδετο, καὶ μάλιστα διὰ
surrendered he and all spared and most through
τούτων τοὺς ἔτι λανθάνοντας ἐξιχνεύων καὶ λαμβάνων
these the still lying-hidden tracking-out and seizing
ἐκόλαζεν ὡς αὐτοὺς ἑαυτοῖς ἀνήκεστα συνειδότας.
punished as themselves with-themselves incurable-things conscious-of
Οἱ δὲ πλεῖστοι καὶ δυνατώτατοι γενεὰς μὲν αὐτῶν 28
the but most and most-powerful families indeed their
καὶ χρήματα καὶ τὸν ἄχρηστον ὄχλον ἐν φρουρίοις καὶ
and goods and the useless crowd in forts and
πολίσμασι καρτεροῖς περὶ τὸν Ταῦρον εἶχον ἀποκείμενα,
towns strong around — Taurus had stored-away
τὰς δὲ ναῦς πληρώσαντες αὐτοὶ περὶ τὸ Κορακήσιον
the and ships having-manned they around — Coracesium
τῆς Κιλικίας ἐπιπλέοντα τὸν Πομπήϊον ἐδέξαντο· καὶ
— of-Cilicia sailing-against — Pompey received and
μάχης γενομένης νικηθέντες ἐπολιορκοῦντο. τέλος δὲ
of-battle having-occurred having-been-conquered they-were-besieged at-last and
πέμψαντες ἱκετηρίας παρέδωκαν ἑαυτοὺς καὶ πόλεις καὶ
having-sent suppliant-branches they-surrendered themselves and cities and
νήσους ὧν ἐπεκράτουν ἐντειχισάμενοι, χαλεπὰς βιασθῆναι
islands which they-controlled having-fortified hard to-be-forced
καὶ δυσπροσπελάστους. κατελύθη μὲν οὖν ὁ πόλεμος καὶ
and difficult-of-approach was-ended indeed then the war and
τὰ πανταχοῦ λῃστήρια τῆς θαλάσσης ἐξέπεσεν οὐκ
the everywhere robber-bands from-the sea were-driven-out not
ἐν πλείονι χρόνῳ τριῶν μηνῶν, ναῦς δὲ πολλὰς μὲν
in more time than-three months ships and many indeed
ἄλλας, ἐνενήκοντα δὲ χαλκεμβόλους παρέλαβεν. αὐτοὺς
other ninety and bronze-beaked he-took-over them

δὲ δισμυρίων πλείονας γενομένους ἀνελεῖν μὲν οὐδὲ
and than-twenty-thousand more having-become to-kill indeed not-even
ἐβουλεύσατο, μεθεῖναι δὲ καὶ περιϊδεῖν σκεδασθέντας ἢ
he-considered to-let-go and and to-allow scattered or
συστάντας αὖθις, ἀπόρους καὶ πολεμικοὺς καὶ πολλοὺς
banded-together again helpless and warlike and many
ὄντας, οὐκ ᾤετο καλῶς ἔχειν. ἐννοήσας οὖν ὅτι φύσει
being not he-thought well to-be having-reflected then that by-nature
μὲν ἄνθρωπος οὔτε γέγονεν οὔτ' ἔστιν ἀνήμερον ζῷον οὐδ'
indeed man neither has-been-born nor is a-savage creature nor
ἄμικτον, ἀλλ' ἐξίσταται τῇ κακίᾳ παρὰ φύσιν χρώμενος,
unsocial but changes in-the vice against nature practicing
ἔθεσι δὲ καὶ τόπων καὶ βίων μεταβολαῖς ἐξημεροῦται,
by-customs and and of-places and of-lives changes is-tamed
καὶ θηρία δὲ διαίτης κοινωνοῦντα πραοτέρας ἐκδύεται
and beasts and of-a-way-of-life sharing gentler puts-off
τὸ ἄγριον καὶ χαλεπόν, ἔγνω τοὺς ἄνδρας εἰς γῆν
the wildness and harshness he-determined the men onto land
μεταφέρειν ἐκ τῆς θαλάσσης καὶ βίου γεύειν ἐπιεικοῦς,
to-transfer from the sea and of-a-life to-give-a-taste reasonable
συνεθισθέντας ἐν πόλεσιν οἰκεῖν καὶ γεωργεῖν. ἐνίους μὲν
accustomed in cities to-dwell and to-farm some indeed
οὖν αἱ μικραὶ καὶ ὑπέρημοι τῶν Κιλίκων πόλεις ἐδέξαντο
then the small and very-empty of-the Cilicians cities received
καὶ κατέμιξαν ἑαυταῖς χώραν προσλαβοῦσαι, τὴν δὲ
and mingled with-themselves land having-taken-in-addition the and
Σολίων ἠρημωμένην ἔναγχος ὑπὸ Τιγράνου τοῦ Ἀρμενίων
of-Soli laid-waste lately by Tigranes the of-the-Armenians
βασιλέως ἀναλαβὼν ἵδρυσε πολλοὺς ἐν αὐτῇ. τοῖς δὲ
king having-taken-up he-settled many in it to-the and

πολλοῖς οἰκητήριον ἔδωκε Δύμην τὴν Ἀχαΐδα, χηρεύουσαν
many(-others) a-dwelling he-gave Dyme the Achaean bereft
ἀνδρῶν τότε, γῆν δὲ πολλὴν καὶ ἀγαθὴν ἔχουσαν.
of-men then land and much and good having

VII · CRETE, LUCULLUS, AND MITHRIDATES

Pompey's agent Octavius fights beside the Cretan pirates against Metellus, to Pompey's discredit. Manilius' law gives him Lucullus' command against Mithridates; Pompey feigns weariness. The two meet in Galatia, praise, then revile each other, and Pompey belittles Lucullus' victories. He traps Mithridates near the Euphrates and, attacking by moonlight, destroys his army; the king escapes with his concubine Hypsicrateia, gives his friends poison, and flees through Colchis.

Ταῦτα μὲν οὖν οἱ βασκαίνοντες ἔψεγον· τοῖς δὲ περὶ 29
these-things indeed then the envious blamed at-the but about
Κρήτην πραχθεῖσι πρὸς Μέτελλον οὐδ' οἱ πάνυ φιλοῦντες
Crete done against Metellus not-even the very loving
αὐτὸν ἔχαιρον. ὁ γὰρ Μέτελλος, οἰκεῖος ὢν ἐκείνου τοῦ
him were-pleased — for Metellus kinsman being of-that the
συνάρξαντος ἐν Ἰβηρίᾳ τῷ Πομπηΐῳ, στρατηγὸς εἰς
having-been-colleague in Iberia — with-Pompey praetor to
Κρήτην ἐπέμφθη πρότερον ἢ τὸν Πομπήϊον αἱρεθῆναι·
Crete was-sent before than — Pompey to-be-chosen
δευτέρα γάρ τις ἦν αὕτη τῶν πειρατηρίων πηγὴ μετὰ τὴν
second for a was this of-the pirate-bands source after the
ἐν Κιλικίᾳ· καὶ πολλοὺς ἐγκαταλαβὼν ὁ Μέτελλος ἐξῄρει
in Cilicia and many having-caught — Metellus was-taking
καὶ διέφθειρεν. οἱ δὲ περιόντες ἔτι καὶ πολιορκούμενοι
and was-destroying those and surviving still and being-besieged
πέμψαντες ἱκετηρίαν ἐπεκαλοῦντο τὸν Πομπήϊον εἰς τὴν
having-sent a-suppliant-branch called-in — Pompey to the

νῆσον, ὡς τῆς ἐκείνου μέρος οὖσαν ἀρχῆς καὶ πανταχόθεν
island as of-the that-one's part being command and from-all-sides
ἐμπίπτουσαν εἰς τὸ μέτρον τὸ ἀπὸ θαλάσσης. ὁ δὲ
falling within the measure the from sea he and
δεξάμενος ἔγραφε τῷ Μετέλλῳ κωλύων τὸν πόλεμον.
having-accepted wrote — to-Metellus forbidding the war
ἔγραφε δὲ καὶ ταῖς πόλεσι μὴ προσέχειν Μετέλλῳ,
he-wrote and also to-the cities not to-heed Metellus
καὶ στρατηγὸν ἔπεμψε τῶν ὑφ' ἑαυτὸν ἀρχόντων ἕνα
and as-commander sent of-the under himself officers one
Λεύκιον Ὀκταούϊον, ὃς συνεισελθὼν εἰς τὰ τείχη τοῖς
Lucius Octavius who having-entered-together into the walls with-those
πολιορκουμένοις καὶ μαχόμενος μετ' αὐτῶν, οὐ μόνον
being-besieged and fighting with them not only
ἐπαχθῆ καὶ βαρύν, ἀλλὰ καὶ καταγέλαστον ἐποίει τὸν
odious and oppressive but also ridiculous made —
Πομπήϊον, ἀνθρώποις ἀνοσίοις καὶ ἀθέοις τοὔνομα κιχράντα
Pompey to-men unholy and godless the-name lending
καὶ περιάπτοντα τὴν αὑτοῦ δόξαν ὥσπερ ἀλεξιφάρμακον
and fastening-about the his-own glory like an-amulet
ὑπὸ φθόνου καὶ φιλοτιμίας τῆς πρὸς τὸν Μέτελλον.
from envy and rivalry the toward — Metellus
οὐδὲ γὰρ τὸν Ἀχιλλέα ποιεῖν ἀνδρὸς ἔργον, ἀλλὰ
not-even for — Achilles to-do of-a-man deed but
μειρακίου παντάπασιν ἐμπλήκτου καὶ σεσοβημένου πρὸς
of-a-boy altogether senseless and agitated toward
δόξαν, ἀνανεύοντα τοῖς ἄλλοις καὶ διακωλύοντα βάλλειν
glory nodding-refusal to-the others and forbidding to-strike
Ἕκτορα, Μή τις κῦδος ἄροιτο βαλών, ὁ δὲ δεύτερος
Hector lest anyone glory win having-struck he and second
ἔλθοι· Πομπήϊον δὲ καὶ σώζειν ὑπερμαχοῦντα τῶν κοινῶν
come Pompey and even to-save fighting-for the common

πολεμίων ἐπὶ τῷ τὸν θρίαμβον ἀφελέσθαι στρατηγοῦ
enemies so-as the the triumph to-take-away of-a-general
πολλὰ πεπονηκότος. οὐ μὴν ἐνέδωκεν ὁ Μέτελλος, ἀλλὰ
much having-toiled not indeed gave-in — Metellus but
τούς τε πειρατὰς ἐξελὼν ἐτιμωρήσατο, καὶ τὸν Ὀκταούϊον
the both pirates having-taken he-punished and — Octavius
ἐν τῷ στρατοπέδῳ καθυβρίσας καὶ λοιδορήσας ἀφῆκεν.
in the camp having-insulted and having-reviled he-dismissed
Ἀπαγγελθέντος δὲ εἰς Ῥώμην πέρας ἔχειν τὸν πειρατικὸν 30
having-been-reported and to Rome an-end to-have the piratical
πόλεμον καὶ σχολὴν ἄγοντα τὸν Πομπήϊον ἐπέρχεσθαι
war and leisure having — Pompey to-visit
τὰς πόλεις, γράφει νόμον εἷς τῶν δημάρχων Μάλλιος,
the cities proposes a-law one of-the tribunes Manilius
ὅσης Λεύκολλος ἄρχει χώρας καὶ δυνάμεως, Πομπήϊον
as-much Lucullus commands of-land and of-force Pompey
παραλαβόντα πᾶσαν, προσλαβόντα δὲ καὶ Βιθυνίαν,
having-taken-over all having-taken-in-addition and also Bithynia
ἣν ἔχει Γλαβρίων, πολεμεῖν Μιθριδάτῃ καὶ Τιγράνῃ τοῖς
which holds Glabrio to-make-war on-Mithridates and Tigranes the
βασιλεῦσιν, ἔχοντα καὶ τὴν ναυτικὴν δύναμιν καὶ τὸ
kings having also the naval force and the
κράτος τῆς θαλάσσης ἐφ' οἷς ἔλαβεν ἐξ ἀρχῆς.
dominion of-the sea on-the-terms which he-received from beginning
τοῦτο δ' ἦν ἐφ' ἑνὶ συλλήβδην γενέσθαι τὴν Ῥωμαίων
this and was under one(-man) all-together to-come the of-Romans
ἡγεμονίαν· ὧν γὰρ ἐδόκει μόνων ἐπαρχιῶν μὴ ἐφικνεῖσθαι
supremacy which for it-seemed only provinces not to-reach
τῷ προτέρῳ νόμῳ, Φρυγίας, Λυκαονίας, Γαλατίας,
by-the former law Phrygia Lycaonia Galatia
Καππαδοκίας, Κιλικίας, τῆς ἄνω Κολχίδος, Ἀρμενίας,
Cappadocia Cilicia the upper Colchis Armenia

αὗται προσετίθεντο μετὰ στρατοπέδων καὶ δυνάμεων
these were-added with camps and forces
αἷς Λεύκολλος κατεπολέμησε Μιθριδάτην καὶ Τιγράνην.
with-which Lucullus warred-down Mithridates and Tigranes
ἀλλὰ Λευκόλλου μὲν ἀποστερουμένου τὴν δόξαν ὧν
but Lucullus indeed being-robbed-of the glory of-what
κατειργάσατο καὶ θριάμβου μᾶλλον ἢ πολέμου διαδοχὴν
he-achieved and of-a-triumph rather than of-a-war a-succession
λαμβάνοντος, ἥττων λόγος ἦν τοῖς ἀριστοκρατικοῖς, καίπερ
receiving less account was to-the aristocrats although
οἰομένοις ἄδικα καὶ ἀχάριστα πάσχειν τὸν ἄνδρα, τὴν
thinking unjust and ungrateful-things to-suffer the man the
δὲ δύναμιν τοῦ Πομπηΐου βαρέως φέροντες ὡς τυραννίδα
but power — of-Pompey heavily bearing as a-tyranny
καθισταμένην, ἰδίᾳ παρεκάλουν καὶ παρεθάρρυνον αὑτοὺς
being-established privately they-exhorted and encouraged each-other
ἐπιλαβέσθαι τοῦ νόμου καὶ μὴ προέσθαι τὴν ἐλευθερίαν.
to-attack the law and not to-give-up the freedom
ἐνστάντος δὲ τοῦ καιροῦ, τὸν δῆμον φοβηθέντες ἐξέλιπον
having-come and the moment the people fearing they-failed
καὶ κατεσιώπησαν οἱ λοιποί, Κάτλος δὲ τοῦ νόμου πολλὰ
and fell-silent the rest Catulus and the law much
κατηγορήσας καὶ τοῦ δημάρχου, μηδένα δὲ πείθων, ἐκέλευε
having-accused and the tribune nobody but persuading bade
τὴν βουλὴν ἀπὸ τοῦ βήματος κεκραγὼς πολλάκις ὄρος
the senate from the tribunal having-shouted often a-mountain
ζητεῖν, ὥσπερ οἱ πρόγονοι, καὶ κρημνόν, ὅπου καταφυγοῦσα
to-seek like the ancestors and a-precipice where having-fled-for-refuge
διασώσει τὴν ἐλευθερίαν. ἐκυρώθη δ' οὖν ὁ νόμος, ὡς
it-will-preserve the freedom was-ratified and then the law as
λέγουσι, πάσαις ταῖς φυλαῖς, καὶ κύριος ἀποδέδεικτο μὴ
they-say by-all the tribes and master had-been-appointed not

παρὼν ὁ Πομπήϊος ἁπάντων σχεδὸν ὧν ὁ Σύλλας
being-present — Pompey of-all nearly which — Sulla
ὅπλοις καὶ πολέμῳ τῆς πόλεως κρατήσας. αὐτὸς δὲ
by-arms and war the city having-conquered(-held) he and
δεξάμενος τὰ γράμματα καὶ πυθόμενος τὰ δεδογμένα, τῶν
having-received the letters and having-learned the decisions the
φίλων παρόντων καὶ συνηδομένων, τὰς ὀφρῦς λέγεται
friends being-present and rejoicing-with(-him) the brows is-said
συναγαγεῖν καὶ τὸν μηρὸν πατάξαι καὶ εἰπεῖν ὡς
to-have-drawn-together and the thigh to-have-struck and to-have-said as
ἂν βαρυνόμενος ἤδη καὶ δυσχεραίνων τὸ ἄρχειν· "Φεῦ
if being-burdened already and disliking the commanding alas
τῶν ἀνηνύτων ἄθλων, ὡς ἄρα κρεῖττον ἦν ἕνα τῶν
for-the endless labors how then better it-was one of-the
ἀδόξων γενέσθαι, εἰ μηδέποτε παύσομαι στρατευόμενος
obscure to-become if never I-shall-cease campaigning
μηδὲ τὸν φθόνον τοῦτον ἐκδὺς ἐν ἀγρῷ διαιτήσομαι
nor the envy this having-put-off in country I-shall-live
μετὰ τῆς γυναικός." ἐφ' οἷς λεγομένοις οὐδ' οἱ
with the wife at which-things being-said not-even the
πάνυ συνήθεις ἔφερον αὐτοῦ τὴν εἰρωνείαν, γινώσκοντες
very intimate bore his the dissembling knowing
ὅτι τῆς ἐμφύτου φιλοτιμίας καὶ φιλαρχίας ὑπέκκαυμα τὴν
that of-the inborn ambition and love-of-power fuel the
πρὸς Λεύκολλον ἔχων διαφορὰν μειζόνως ἔχαιρεν.
toward Lucullus having difference more he-rejoiced
Ἀμέλει δὲ καὶ τὰ ἔργα ταχέως αὐτὸν ἀπεκάλυπτε. πανταχοῦ 31
of-course and also the deeds quickly him revealed everywhere
γὰρ ἐκτιθεὶς διαγράμματα τοὺς στρατιώτας ἀνεκαλεῖτο
for setting-out edicts the soldiers he-called-up
καὶ μετεπέμπετο τοὺς ὑπηκόους δυνάστας καὶ βασιλεῖς ὡς
and summoned the subject princes and kings to

ἑαυτόν. ἐπιών τε τὴν χώραν οὐδὲν ἀκίνητον εἶα τῶν
himself going-over and the country nothing undisturbed he-left of-the
ὑπὸ τοῦ Λευκόλλου γεγονότων, ἀλλὰ καὶ κολάσεις ἀνῆκε
by — Lucullus done but also punishments he-remitted
πολλοῖς καὶ δωρεὰς ἀφείλετο καὶ πάντα ὅλως ἔπραττεν
for-many and gifts took-away and all-things altogether did
ἐπιδεῖξαι τὸν ἄνδρα φιλονεικῶν τοῖς θαυμάζουσιν οὐδενὸς
to-show the man striving to-the admirers of-nothing
ὄντα κύριον. ἐγκαλοῦντος δ' ἐκείνου διὰ τῶν φίλων,
being master accusing and that-one through the friends
ἔδοξε συνελθεῖν εἰς ταὐτό· καὶ συνῆλθον περὶ
it-was-resolved to-come-together into the-same(-place) and they-met in
τὴν Γαλατίαν. οἷα δὲ μεγίστων στρατηγῶν καὶ μέγιστα
— Galatia as and of-greatest generals and greatest-things
κατωρθωκότων δάφναις ἀνεστεμμένας ἔχοντες ὁμοῦ καὶ
having-achieved with-laurels wreathed having together also
τὰς ῥάβδους οἱ ὑπηρέται ἀπήντων· ἀλλὰ Λεύκολλος μὲν
the fasces the attendants met but Lucullus indeed
ἐκ τόπων χλοερῶν καὶ κατασκίων προσῄει, Πομπήϊος
from places green and shady approached Pompey
δὲ πολλὴν ἄδενδρον καὶ κατεψυγμένην ἔτυχε διεληλυθώς.
and much treeless and frozen(-country) happened having-crossed
ἰδόντες οὖν οἱ τοῦ Λευκόλλου ῥαβδοφόροι τοῦ Πομπηΐου
having-seen then the — of-Lucullus lictors — of-Pompey
τὰς δάφνας ἀθαλλεῖς καὶ μεμαραμμένας παντάπασιν, ἐκ
the laurels withered and faded altogether from
τῶν ἰδίων προσφάτων οὐσῶν μεταδιδόντες ἐπεκόσμησαν
the own fresh being sharing they-decked
καὶ κατέστεψαν τὰς ἐκείνου ῥάβδους. ὃ σημεῖον ἔδοξεν
and wreathed the of-that-one fasces which sign seemed
εἶναι τοῦ τὰ Λευκόλλου νικητήρια καὶ τὴν δόξαν οἰσόμενον
to-be of-the the of-Lucullus victories and the glory to-carry-off

ἔρχεσθαι Πομπήϊον. ἦν δὲ Λεύκολλος μὲν ἐν ὑπατείας τε
coming Pompey was and Lucullus indeed in of-consulship both
τάξει καὶ καθ' ἡλικίαν πρεσβύτερος, τὸ δὲ τοῦ Πομπηΐου
rank and by age older the and — of-Pompey
μεῖζον ἀξίωμα τοῖς δυσὶ θριάμβοις. οὐ μὴν ἀλλὰ τὴν πρώτην
greater dignity by-the two triumphs not indeed but the first
ἔντευξιν ὡς ἐνῆν μάλιστα πολιτικῶς καὶ φιλοφρόνως
meeting as was-possible most politely and kindly
ἐποιήσαντο, μεγαλύνοντες ἀλλήλων τὰ ἔργα καὶ συνηδόμενοι
they-made magnifying each-other's the deeds and rejoicing-with
τοῖς κατορθώμασιν· ἐν δὲ τοῖς λόγοις πρὸς οὐδὲν ἐπιεικὲς
at-the successes in but the talks to nothing reasonable
οὐδὲ μέτριον συμβάντες, ἀλλὰ καὶ λοιδορήσαντες, ὁ μὲν
nor moderate agreeing but even having-reviled the one
εἰς φιλαργυρίαν τὸν Λεύκολλον, ὁ δὲ εἰς φιλαρχίαν
for avarice — Lucullus the other for love-of-power
ἐκεῖνον, ὑπὸ τῶν φίλων μόλις διελύθησαν. Καὶ Λεύκολλος
that-one by the friends barely were-separated and Lucullus
μὲν ἐν Γαλατίᾳ διέγραψε χώρας τῆς αἰχμαλώτου καὶ
indeed in Galatia assigned lands of-the captured(-country) and
δωρεὰς ἄλλας οἷς ἐβούλετο, Πομπήϊος δὲ μικρὸν
gifts other to-whom he-wished Pompey and little
ἀπωτέρω στρατοπεδεύσας ἐκώλυε προσέχειν αὐτῷ, καὶ τοὺς
farther-off having-encamped forbade to-heed him and the
στρατιώτας ἅπαντας ἀφείλετο πλὴν χιλίων ἑξακοσίων, οὓς
soldiers all took-away except thousand six-hundred whom
ἐνόμιζεν ὑπ' αὐθαδείας ἀχρήστους μὲν ἑαυτῷ, τῷ Λευκόλλῳ
he-thought from willfulness useless indeed to-himself — to-Lucullus
δὲ δυσμενεῖς εἶναι. πρὸς δὲ τούτοις διασύρων τὰ ἔργα
and hostile to-be besides and these disparaging the deeds
ἐμφανῶς ἔλεγε τραγῳδίαις καὶ σκιαγραφίαις πεπολεμηκέναι
openly he-said with-tragedies and shadow-paintings to-have-warred

βασιλικαῖς τὸν Λεύκολλον, αὐτῷ δὲ πρὸς ἀληθινὴν
royal — Lucullus to-him and against real
καὶ σεσωφρονισμένην τὸν ἀγῶνα λείπεσθαι δύναμιν, εἰς
and disciplined the struggle to-be-left force to
θυρεοὺς καὶ ξίφη καὶ ἵππους Μιθριδάτου καταφεύγοντος.
shields and swords and horses Mithridates fleeing-for-refuge
ἀμυνόμενος δὲ ὁ Λεύκολλος εἰδώλῳ καὶ σκιᾷ
retaliating and — Lucullus against-a-phantom and shadow
πολέμου τὸν Πομπήϊον ἔφη μαχούμενον βαδίζειν, εἰθισμένον
of-war — Pompey said to-fight going accustomed
ἀλλοτρίοις νεκροῖς, ὥσπερ ὄρνιν ἀργόν, ἐπικαταίρειν καὶ
on-others' corpses like a-bird lazy to-alight and
λείψανα πολέμων σπαράσσειν. οὕτω γὰρ αὑτὸν ἐπιγράψαι
remnants of-wars to-tear thus for himself to-have-inscribed
Σερτωρίῳ, Λεπίδῳ, τοῖς Σπαρτακείοις, τὰ μὲν Κράσσου,
on-Sertorius on-Lepidus on-the Spartacans the indeed Crassus
τὰ δὲ Μετέλλου, τὰ δὲ Κάτλου κατωρθωκότος. ὅθεν
the other Metellus the other Catulus having-achieved whence
οὐ θαυμάζειν εἰ τῶν Ἀρμενιακῶν καὶ Ποντικῶν πολέμων
not to-wonder if of-the Armenian and Pontic wars
ὑποβάλλεται τὴν δόξαν, ἄνθρωπος ἑαυτὸν εἰς δραπετικὸν
he-claims the glory a-man himself into a-runaway-slaves'
θρίαμβον ἁμῶς γέ πως ἐμβαλεῖν μηχανησάμενος.
triumph in-some-way at-least somehow to-thrust-in having-contrived

32 Ἐκ τούτου Λεύκολλος μὲν ἀπῆρε, Πομπήϊος δὲ τῷ
from this Lucullus indeed departed Pompey and with-the
στόλῳ παντὶ τὴν μεταξὺ Φοινίκης καὶ Βοσπόρου θάλασσαν
fleet whole the between Phoenicia and Bosporus sea
ἐπὶ φρουρᾷ διαλαβών, αὐτὸς ἐβάδιζεν ἐπὶ Μιθριδάτην,
for guard having-occupied he marched against Mithridates
ἔχοντα τρισμυρίους πεζοὺς ἐν φάλαγγι καὶ δισχιλίους
having thirty-thousand foot in phalanx and two-thousand

ἱππεῖς, μάχεσθαι δὲ μὴ θαρροῦντα. καὶ πρῶτον μὲν αὐτοῦ
horsemen to-fight but not daring and first indeed of-him
καρτερὸν ὄρος καὶ δύσμαχον, ἐν ᾧ στρατοπεδεύων
strong mountain and hard-to-attack on which encamping
ἔτυχεν, ὡς ἄνυδρον ἐκλιπόντος, αὐτὸ τοῦτο κατασχὼν
he-happened as waterless having-left-(it) very this having-occupied
ὁ Πομπήϊος, καὶ τῇ φύσει τῶν βλαστανόντων καὶ
— Pompey and by-the nature of-the growing(-plants) and
ταῖς συγκλινίαις τῶν τόπων τεκμαιρόμενος ἔχειν πηγὰς
by-the slopes of-the places judging to-have springs
τὸ χωρίον, ἐκέλευσεν ἐκβαλεῖν πανταχοῦ φρέατα. καὶ
the place he-ordered to-sink everywhere wells and
μεστὸν ἦν εὐθὺς ὕδατος ἀφθόνου τὸ στρατόπεδον, ὥστε
full was at-once of-water abundant the camp so-that
θαυμάζειν εἰ τῷ παντὶ χρόνῳ τοῦτο Μιθριδάτης ἠγνόησεν.
to-wonder if the whole time this Mithridates was-ignorant-of
ἔπειτα περιστρατοπεδεύσας περιετείχιζεν αὐτόν. ὁ δὲ
then having-encamped-around he-walled-in him he and
πέντε καὶ τετταράκοντα πολιορκηθεὶς ἡμέρας ἔλαθεν
five and forty having-been-besieged days escaped-notice
ἀποδρὰς μετὰ τῆς ἐρρωμενεστάτης δυνάμεως, κτείνας τοὺς
running-away with the strongest force having-killed the
ἀχρήστους καὶ νοσοῦντας. εἶτα μέντοι περὶ τὸν Εὐφράτην
useless and sick then however near the Euphrates
καταλαβὼν αὐτὸν ὁ Πομπήϊος παρεστρατοπέδευσε· καὶ
having-overtaken him — Pompey encamped-beside(-him) and
δεδιὼς μὴ φθάσῃ περάσας τὸν Εὐφράτην, ἐκ μέσων
fearing lest he-anticipate having-crossed the Euphrates from mid
νυκτῶν ἐπῆγεν ὡπλισμένην τὴν στρατιάν· καθ' ὃν
nights he-led-on armed the army at which
χρόνον λέγεται τὸν Μιθριδάτην ὄψιν ἐν ὕπνοις ἰδεῖν
time it-is-said — Mithridates a-vision in sleep to-have-seen

τὰ μέλλοντα προδηλοῦσαν. ἐδόκει γὰρ οὐρίῳ πνεύματι
the(-things) to-come foreshowing he-seemed for with-fair wind
πλέων τὸ Ποντικὸν πέλαγος ἤδη Βόσπορον καθορᾶν καὶ
sailing the Pontic sea already Bosporus to-see and
φιλοφρονεῖσθαι τοὺς συμπλέοντας, ὡς ἄν τις ἐπὶ σωτηρίᾳ
to-be-friendly-to the fellow-voyagers as would one at safety
σαφεῖ καὶ βεβαίῳ χαίρων· ἄφνω δὲ ἀναφανῆναι πάντων
clear and secure rejoicing suddenly but to-appear of-all
ἔρημος ἐπὶ λεπτοῦ ναυαγίου διαφερόμενος. ἐν τοιούτοις
bereft on slight wreckage drifting in such
δὲ αὐτὸν ὄντα πάθεσι καὶ φάσμασιν ἐπιστάντες
and him being sufferings and apparitions having-stood-over(-him)
ἀνέστησαν οἱ φίλοι, φράζοντες ἐπιέναι Πομπήϊον.
roused the friends saying to-be-approaching Pompey
ἦν οὖν ἐξ ἀνάγκης μαχητέον ὑπὲρ τοῦ χάρακος, καὶ
was then of necessity to-be-fought for the palisade and
προαγαγόντες οἱ στρατηγοὶ τὴν δύναμιν ἔταξαν. αἰσθόμενος
having-led-forward the generals the force drew-up having-perceived
δὲ τὴν παρασκευὴν αὐτῶν ὁ Πομπήϊος ὤκνει κατὰ σκότος
but the preparation of-them — Pompey hesitated in darkness
εἰς κίνδυνον ἐλθεῖν, καὶ κύκλῳ μόνον ᾤετο δεῖν
into danger to-come and in-a-circle only he-thought it-necessary
περιελαύνειν, ὅπως μὴ φεύγοιεν, ἡμέρας δὲ κρείττους ὄντας
to-ride-around so-that not they-might-flee by-day and stronger being
ἐπιχειρεῖν. οἱ δὲ πρεσβύτατοι τῶν ταξιαρχῶν δεόμενοι καὶ
to-attack the but oldest of-the centurions begging and
παρακαλοῦντες ἐξώρμησαν αὐτόν· οὐδὲ γὰρ σκότος ἦν
urging roused him not-even for darkness was
παντάπασιν, ἀλλὰ ἡ σελήνη καταφερομένη παρεῖχεν ἔτι
altogether but the moon setting afforded still
τῶν σωμάτων ἱκανὴν ἔποψιν. καὶ τοῦτο μάλιστα τοὺς
of-the bodies sufficient view and this most the

βασιλικοὺς ἔσφηλεν. ἐπήεσαν μὲν γὰρ οἱ Ῥωμαῖοι κατὰ
king's-men tripped-up advanced indeed for the Romans at
νώτου τὴν σελήνην ἔχοντες· πεπιεσμένου δὲ περὶ τὰς
back the moon having pressed-down and near the
δύσεις τοῦ φωτός, αἱ σκιαὶ πολὺ τῶν σωμάτων ἔμπροσθεν
settings of-the light the shadows far of-the bodies ahead
προϊοῦσαι τοῖς πολεμίοις ἐπέβαλλον, οὐ δυναμένοις τὸ
going-forward to-the enemy fell not being-able the
διάστημα συνιδεῖν ἀκριβῶς· ἀλλ' ὡς ἐν χερσὶν ἤδη
distance to-perceive exactly but as at hands already
γεγονότων τοὺς ὑσσοὺς ἀφέντες μάτην οὐδενὸς ἐφίκοντο.
having-come the javelins having-thrown in-vain no-one reached
τοῦτο συνιδόντες οἱ Ῥωμαῖοι μετὰ κραυγῆς ἐπέδραμον,
this having-perceived the Romans with a-shout ran-at(-them)
καὶ μηκέτι μένειν τολμῶντας, ἀλλ' ἐκπεπληγμένους καὶ
and no-longer to-stand daring but terrified and
φεύγοντας ἔκτεινον, ὥστε πολὺ πλείονας μυρίων
fleeing killed so-that far more than-ten-thousand
ἀποθανεῖν, ἁλῶναι δὲ τὸ στρατόπεδον.
to-die to-be-taken and the camp
Αὐτὸς δὲ Μιθριδάτης ἐν ἀρχῇ μὲν ὀκτακοσίοις ἱππεῦσι
himself and Mithridates at beginning indeed with-eight-hundred horsemen
διέκοψε καὶ διεξήλασε τοὺς Ῥωμαίους, ταχὺ δὲ τῶν
cut-through and drove-through the Romans quickly but the
ἄλλων σκεδασθέντων ἀπελείφθη μετὰ τριῶν. ἐν οἷς
others having-been-scattered he-was-left with three among whom
ἦν Ὑψικράτεια παλλακίς, ἀεὶ μὲν ἀνδρώδης τις οὖσα
was Hypsicrateia concubine always indeed manly a being
καὶ παράτολμος· Ὑψικράτην γοῦν αὐτὴν ὁ βασιλεὺς
and very-daring Hypsicrates at-any-rate her the king
ἐκάλει· τότε δὲ ἀνδρὸς ἔχουσα Πέρσου στολὴν καὶ ἵππον
called then and of-a-man having Persian dress and horse

οὔτε τῷ σώματι πρὸς τὰ μήκη τῶν δρόμων ἀπηγόρευσεν
neither in-the body toward the lengths of-the courses gave-out
οὔτε θεραπεύουσα τοῦ βασιλέως τὸ σῶμα καὶ τὸν ἵππον
nor tending of-the king the body and the horse
ἐξέκαμεν, ἄχρι ἦκον εἰς χωρίον Σίνωρα χρημάτων καὶ
grew-weary until they-came to a-place Sinora of-money and
κειμηλίων βασιλικῶν μεστόν. ἐξ οὗ λαβὼν ὁ Μιθριδάτης
treasures royal full from which having-taken — Mithridates
ἐσθῆτας πολυτελεῖς διένειμε τοῖς συνδεδραμηκόσι πρὸς
garments costly distributed to-those having-run-together to
αὐτὸν ἐκ τῆς φυγῆς. ἔδωκε δὲ καὶ τῶν φίλων ἑκάστῳ
him from the flight he-gave and also of-the friends to-each
φορεῖν θανάσιμον φάρμακον, ὅπως ἄκων μηδεὶς ὑποχείριος
to-carry deadly poison so-that unwilling nobody subject
γένοιτο τοῖς πολεμίοις. ἐντεῦθεν ὥρμητο μὲν ἐπ'
might-become to-the enemy thence he-had-set-out indeed for
Ἀρμενίας πρὸς Τιγράνην, ἐκείνου δὲ ἀπαγορεύοντος καὶ
Armenia to Tigranes that-one but forbidding and
τάλαντα ἑκατὸν ἐπικηρύξαντος αὐτῷ, παραμειψάμενος τὰς
talents a-hundred having-proclaimed for-him having-passed-by the
πηγὰς τοῦ Εὐφράτου διὰ τῆς Κολχίδος ἔφευγε.
sources of-the Euphrates through — Colchis he-fled

VIII · TIGRANES AND THE CAUCASUS

Old Tigranes surrenders, making to lay his tiara at Pompey's feet; Pompey leaves him his kingdom for a fine and makes his rebellious son a prisoner. He defeats the Albanians and Iberians, killing the Albanian leader Cosis, and Amazons are said to have fought there. Turned back by snakes short of the Caspian, he receives the fortress and gifts of Stratonice, takes only what will adorn the temples and his triumph, and reads Mithridates' secret papers.

Πομπήϊος δὲ εἰς Ἀρμενίαν ἐνέβαλε τοῦ νέου Τιγράνου 33
Pompey and into Armenia invaded the young Tigranes
καλοῦντος αὐτόν· ἤδη γὰρ ἀφειστήκει τοῦ πατρός,
inviting him already for he-had-revolted-from the father
καὶ συνήντησε τῷ Πομπηΐῳ περὶ τὸν Ἀράξην ποταμόν,
and met — Pompey near the Araxes river
ὃς ἀνίσχει μὲν ἐκ τῶν αὐτῶν τῷ Εὐφράτῃ τόπων,
which rises indeed from the same as-the Euphrates places
ἀποτρεπόμενος δὲ πρὸς τὰς ἀνατολὰς εἰς τὸ Κάσπιον
turning and toward the east into the Caspian
ἐμβάλλει πέλαγος. οὗτοι μὲν οὖν προῆγον ἅμα τὰς
empties sea these indeed then advanced at-once the
πόλεις παραλαμβάνοντες· ὁ δὲ βασιλεὺς Τιγράνης ἔναγχος
cities taking-over the and king Tigranes lately
μὲν ὑπὸ Λευκόλλου συντετριμμένος, ἥμερον δέ τινα
indeed by Lucullus crushed gentle but somewhat
τῷ τρόπῳ καὶ πρᾷον πυθόμενος εἶναι τὸν Πομπήϊον,
in-the character and mild having-learned to-be — Pompey
ἐδέξατο μὲν εἰς τὰ βασίλεια φρουράν, ἀναλαβὼν δὲ τοὺς
received indeed into the palace a-garrison having-taken and the
φίλους καὶ συγγενεῖς αὐτὸς ἐπορεύετο παραδώσων ἑαυτόν.
friends and kinsmen he went to-surrender himself
ὡς δὲ ἦλθεν ἱππότης ἐπὶ τὸν χάρακα, ῥαβδοῦχοι δύο
when and he-came on-horseback to the palisade lictors two
τοῦ Πομπηΐου προσελθόντες ἐκέλευσαν ἀποβῆναι τοῦ
— of-Pompey having-approached bade to-dismount from-the
ἵππου καὶ πεζὸν ἐλθεῖν· οὐδένα γὰρ ἀνθρώπων ἐφ' ἵππου
horse and on-foot to-come nobody for of-men on horse
καθεζόμενον ἐν Ῥωμαϊκῷ στρατοπέδῳ πώποτε ὀφθῆναι.
seated in Roman camp ever to-have-been-seen
καὶ ταῦτα οὖν ὁ Τιγράνης ἐπείθετο καὶ τὸ ξίφος αὐτοῖς
and these-things then — Tigranes obeyed and the sword to-them

ἀπολυσάμενος παρεδίδου· καὶ τέλος, ὡς πρὸς αὐτὸν ἦλθε
having-unbuckled handed-over and finally when to him he-came
τὸν Πομπήϊον, ἀφελόμενος τὴν κίταριν ὥρμησε πρὸ τῶν
— Pompey having-taken-off the tiara he-started before the
ποδῶν θεῖναι, καὶ καταβαλὼν ἑαυτόν, αἴσχιστα δὴ
feet to-place(-it) and having-thrown-down himself most-shamefully indeed
πάντων, προσπεσεῖν αὐτοῦ τοῖς γόνασιν. ἀλλ' ὁ Πομπήϊος
of-all to-fall-at his the knees but — Pompey
ἔφθη τῆς δεξιᾶς αὐτοῦ λαβόμενος προσαγαγέσθαι·
anticipated(-him) the right-hand his having-grasped to-draw(-him)-near
καὶ πλησίον ἱδρυσάμενος ἑαυτοῦ, τὸν δὲ υἱὸν ἐπὶ θάτερα,
and near having-seated himself the and son on the-other(-side)
τῶν μὲν ἄλλων ἔφησε δεῖν αἰτιᾶσθαι Λεύκολλον,
for-the indeed other(-things) he-said it-was-necessary to-blame Lucullus
ὑπ' ἐκείνου γὰρ ἀφῃρῆσθαι Συρίαν, Φοινίκην, Κιλικίαν,
by that-one for to-have-been-taken-away Syria Phoenicia Cilicia
Γαλατίαν, Σωφηνήν, ἃ δὲ ἄχρι ἑαυτοῦ διατετήρηκεν,
Galatia Sophene what but up-to himself he-had-kept-intact
ἔξειν ἐκτίσαντα ποινὴν ἑξακισχίλια τάλαντα Ῥωμαίοις
he-would-have having-paid a-penalty six-thousand talents to-Romans
τῆς ἀδικίας, Σωφηνῆς δὲ βασιλεύσειν τὸν υἱόν. ἐπὶ τούτοις
for-the injustice over-Sophene and to-be-king the son at these-terms
ὁ μὲν Τιγράνης ἠγάπησε, καὶ τῶν Ῥωμαίων ἀσπασαμένων
— indeed Tigranes was-pleased and the Romans having-bailed
αὐτὸν βασιλέα περιχαρὴς γενόμενος ἐπηγγείλατο στρατιώτῃ
him king overjoyed having-become he-promised to-a-soldier
μὲν ἡμιμναῖον ἀργυρίου δώσειν, ἑκατοντάρχῃ δὲ μνᾶς
indeed half-a-mina of-silver to-give to-a-centurion and minas
δέκα, χιλιάρχῳ δὲ τάλαντον· ὁ δ' υἱὸς ἐδυσφόρει,
ten to-a-military-tribune and a-talent the but son was-displeased
καὶ κληθεὶς ἐπὶ δεῖπνον οὐκ ἔφη Πομπηΐου δεῖσθαι
and having-been-invited to dinner not he-said of-Pompey to-need

τοιαῦτα τιμῶντος· καὶ γὰρ αὐτὸς ἄλλον εὑρήσειν Ῥωμαίων.
such honoring(-him) also for he another would-find of-Romans
ἐκ τούτου δεθεὶς εἰς τὸν θρίαμβον ἐφυλάττετο. καὶ μετ᾽
from this bound for the triumph he-was-kept and after
οὐ πολὺν χρόνον ἔπεμψε Φραάτης ὁ Πάρθος ἀπαιτῶν
not much time sent Phraates the Parthian demanding
μὲν τὸν νεανίσκον, ὡς αὐτοῦ γαμβρόν, ἀξιῶν δὲ τῶν
indeed the youth as his son-in-law claiming and of-the
ἡγεμονιῶν ὅρῳ χρῆσθαι τῷ Εὐφράτῃ. Πομπήϊος δὲ
dominions as-a-boundary to-use the Euphrates Pompey and
ἀπεκρίνατο τὸν μὲν Τιγράνην τῷ πατρὶ μᾶλλον ἢ τῷ
answered — indeed Tigranes to-the father rather than to-the
πενθερῷ προσήκειν, ὅρῳ δὲ χρήσεσθαι τῷ δικαίῳ.
father-in-law to-belong as-a-boundary and to-use the just
Καταλιπὼν δὲ φρουρὸν Ἀρμενίας Ἀφράνιον αὐτὸς ἐβάδιζε 34
having-left and as-guardian of-Armenia Afranius he marched
διὰ τῶν περιοικούντων τὸν Καύκασον ἐθνῶν ἀναγκαίως
through the dwelling-around the Caucasus nations of-necessity
ἐπὶ Μιθριδάτην. μέγιστα δὲ αὐτῶν ἐστιν ἔθνη Ἀλβανοὶ
against Mithridates greatest and of-them are nations Albanians
καὶ Ἴβηρες, Ἴβηρες μὲν ἐπὶ τὰ Μοσχικὰ ὄρη καὶ
and Iberians Iberians indeed toward the Moschian mountains and
τὸν Πόντον καθήκοντες, Ἀλβανοὶ δὲ ἐπὶ τὴν ἕω καὶ τὴν
the Pontus extending Albanians and toward the east and the
Κασπίαν κεκλιμένοι θάλασσαν. οὗτοι πρῶτον μὲν αἰτοῦντι
Caspian lying sea these first indeed to-him-asking
Πομπηΐῳ δίοδον ἔδοσαν χειμῶνος δὲ τὴν στρατιὰν
Pompey passage gave winter and the army
ἐν τῇ χώρᾳ καταλαβόντος καὶ τῆς Κρονικῆς ἑορτῆς
in the country having-overtaken and the of-Cronus festival
τοῖς Ῥωμαίοις καθηκούσης, γενόμενοι τετρακισμυρίων
for-the Romans falling-due being of-forty-thousand

οὐκ ἐλάττους ἐπεχείρησαν αὐτοῖς, διαβάντες τὸν Κύρνον
not fewer attacked them having-crossed the Cyrnus
ποταμόν, ὃς ἐκ τῶν Ἰβηρικῶν ὀρῶν ἀνιστάμενος καὶ
river which from the Iberian mountains rising and
δεχόμενος κατιόντα τὸν Ἀράξην ἀπ᾽ Ἀρμενίας ἐξίησι δώδεκα
receiving coming-down the Araxes from Armenia empties with-twelve
στόμασιν εἰς τὸ Κάσπιον. οἱ δὲ οὔ φασι τούτῳ συμφέρεσθαι
mouths into the Caspian some but not say with-this to-unite
τὸν Ἀράξην, ἀλλὰ καθ᾽ ἑαυτόν, ἐγγὺς δὲ ποιεῖσθαι τὴν
the Araxes but by itself near but to-make the
ἐκβολὴν εἰς ταὐτὸ πέλαγος. Πομπήϊος δέ, καίπερ ἐνστῆναι
outlet into the-same sea Pompey but although to-oppose
δυνάμενος πρὸς τὴν διάβασιν τοῖς πολεμίοις, περιεῖδε
being-able against the crossing the enemy allowed(-them)
διαβάντας καθ᾽ ἡσυχίαν· εἶτα ἐπαγαγὼν ἐτρέψατο καὶ
having-crossed in quiet then having-led-on he-routed and
διέφθειρε παμπληθεῖς. τῷ δὲ βασιλεῖ δεηθέντι καὶ πέμψαντι
destroyed vast-numbers to-the and king having-begged and having-sent
πρέσβεις ἀφεὶς τὴν ἀδικίαν καὶ σπεισάμενος, ἐπὶ τοὺς
envoys having-forgiven the wrongdoing and having-made-a-truce against the
Ἴβηρας ἐβάδιζε, πλήθει μὲν οὐκ ἐλάττονας, μαχιμωτέρους
Iberians marched in-number indeed not fewer more-warlike
δὲ τῶν ἑτέρων ὄντας, ἰσχυρῶς δὲ βουλομένους τῷ
but than-the others being strongly and wishing —
Μιθριδάτῃ χαρίζεσθαι καὶ διωθεῖσθαι τὸν Πομπήϊον. οὔτε
to-Mithridates to-gratify and to-push-back — Pompey neither
γὰρ Μήδοις οὔτε Πέρσαις ὑπήκουσαν Ἴβηρες, διέφυγον δὲ
for to-Medes nor to-Persians submitted Iberians escaped and
καὶ τὴν Μακεδόνων ἀρχήν, Ἀλεξάνδρου διὰ ταχέων ἐκ
also the of-Macedonians rule Alexander in haste from
τῆς Ὑρκανίας ἀπάραντος. οὐ μὴν ἀλλὰ καὶ τούτους μάχῃ
— Hyrcania having-departed not indeed but also these in-battle

μεγάλῃ τρεψάμενος ὁ Πομπήϊος, ὥστε ἀποθανεῖν μὲν
great having-routed — Pompey so-that to-die indeed
ἐνακισχιλίους, ἁλῶναι δὲ πλείους μυρίων, εἰς τὴν
nine-thousand to-be-captured and more than-ten-thousand into the
Κολχικὴν ἐνέβαλε· καὶ πρὸς τὸν Φᾶσιν αὐτῷ Σερουΐλιος
Colchian(-land) he-invaded and at the Phasis him Servilius
ἀπήντησε, τὰς ναῦς ἔχων αἷς ἐφρούρει τὸν Πόντον.
met the ships having with-which he-guarded the Pontus
Ἡ μὲν οὖν Μιθριδάτου δίωξις ἐνδεδυκότος εἰς τὰ περὶ 35
the indeed then of-Mithridates pursuit having-plunged into the around
Βόσπορον ἔθνη καὶ τὴν Μαιῶτιν ἀπορίας εἶχε μεγάλας·
Bosporus nations and the Maeotis difficulties had great
Ἀλβανοὶ δὲ αὖθις ἀφεστῶτες αὐτῷ προσηγγέλθησαν. πρὸς
Albanians and again having-revolted to-him were-reported against
οὓς ὑπ᾽ ὀργῆς καὶ φιλονεικίας ἐπιστρέψας τόν τε Κύρνον
whom from anger and contentiousness having-turned the both Cyrnus
μόλις καὶ παραβόλως πάλιν διεπέρασεν ἐπὶ πολὺ
barely and recklessly again he-crossed for much(-of-its-length)
σταυροῖς ὑπὸ τῶν βαρβάρων ἀποκεχαρακωμένον, καὶ μακρᾶς
with-stakes by the barbarians fenced-off and long
αὐτὸν ἐκδεχομένης ἀνύδρου καὶ ἀργαλέας ὁδοῦ, μυρίους
him awaiting waterless and painful road ten-thousand
ἀσκοὺς ὕδατος ἐμπλησάμενος ἤλαυνεν ἐπὶ τοὺς πολεμίους,
skins with-water having-filled he-marched against the enemy
καὶ κατέλαβε πρὸς Ἄβαντι ποταμῷ παρατεταγμένους
and found at Abas river drawn-up
ἑξακισμυρίους πεζοὺς καὶ δισχιλίους ἱππεῖς ἐπὶ μυρίοις,
sixty-thousand foot and two-thousand horsemen upon ten-thousand
ὡπλισμένους δὲ φαύλως καὶ δέρμασι θηρίων τοὺς πολλούς,
armed but poorly and with-skins of-beasts the most
ἡγεῖτο δὲ αὐτῶν βασιλέως ἀδελφὸς ὄνομα Κῶσις. οὗτος
led and them of-the-king brother by-name Cosis this-man

ἐν χερσὶ τῆς μάχης γενομένης ἐπὶ τὸν Πομπήϊον ὁρμήσας
at hands the battle having-come against — Pompey having-rushed
αὐτὸν ἔβαλεν ἐπὶ τὴν τοῦ θώρακος ἐπιπτυχὴν ἀκοντίσματι,
him struck on the of-the breastplate fold with-a-javelin
Πομπήϊος δὲ ἐκεῖνον ἐκ χειρὸς διελάσας ἀνεῖλεν.
Pompey and him at hand having-run-through killed
Ἐν ταύτῃ τῇ μάχῃ λέγονται καὶ Ἀμαζόνες συναγωνίσασθαι
in this the battle are-said also Amazons to-have-fought-with
τοῖς βαρβάροις, ἀπὸ τῶν περὶ τὸν Θερμώδοντα ποταμὸν
the barbarians from the around the Thermodon river
ὀρῶν καταβᾶσαι. μετὰ γὰρ τὴν μάχην σκυλεύοντες
mountains having-come-down after for the battle stripping
οἱ Ῥωμαῖοι τοὺς βαρβάρους πέλταις Ἀμαζονικαῖς καὶ
the Romans the barbarians with-shields Amazonian and
κοθόρνοις ἐνετύγχανον, σῶμα δὲ οὐδὲν ὤφθη γυναικεῖον.
with-boots met body but no was-seen female
νέμονται δὲ τοῦ Καυκάσου τὰ καθήκοντα πρὸς
they-inhabit and of-the Caucasus the(-parts) reaching to
τὴν Ὑρκανίαν θάλασσαν, οὐχ ὁμοροῦσαι τοῖς Ἀλβανοῖς,
the Hyrcanian sea not bordering the Albanians
ἀλλὰ Γέλαι καὶ Λῆγες οἰκοῦσι διὰ μέσου· καὶ τούτοις
but Gelae and Leges dwell through the-middle and with-these
ἔτους ἑκάστου δύο μῆνας εἰς ταὐτὸ φοιτῶσαι περὶ
year each two months into the-same(-place) coming near
τὸν Θερμώδοντα ποταμὸν ὁμιλοῦσιν, εἶτα καθ' αὑτὰς
the Thermodon river they-consort then by themselves
ἀπαλλαγεῖσαι βιοτεύουσιν.
having-departed they-live

36 Ὁρμήσας δὲ μετὰ τὴν μάχην ὁ Πομπήϊος ἐλαύνειν ἐπὶ τὴν
having-set-out and after the battle — Pompey to-march to the
Ὑρκανίαν καὶ Κασπίαν θάλασσαν, ὑπὸ πλήθους ἑρπετῶν
Hyrcanian and Caspian sea by multitude of-reptiles

θανασίμων ἀπετράπη τριῶν ὁδὸν ἡμερῶν ἀποσχών,
deadly he-was-turned-back of-three a-road days being-distant
εἰς δὲ τὴν μικρὰν Ἀρμενίαν ἀνεχώρησε. καὶ τῷ μὲν
into and the lesser Armenia he-withdrew and to-the indeed
Ἐλυμαίων καὶ Μήδων βασιλεῖ πέμψασι πρέσβεις ἀντέγραψε
of-Elymaeans and Medes king having-sent envoys he-wrote-back
φιλικῶς, τὸν δὲ Πάρθον, εἰς τὴν Γορδυηνὴν ἐμβεβληκότα
in-friendly-terms the and Parthian into — Gordyene having-invaded
καὶ περικόπτοντα τοὺς ὑπὸ Τιγράνῃ, πέμψας μετὰ Ἀφρανίου
and plundering the under Tigranes having-sent with Afranius
δύναμιν ἐξήλασε διωχθέντα μέχρι τῆς Ἀρβηλίτιδος.
a-force he-drove-out pursued as-far-as — Arbelitis
Ὅσαι δὲ τῶν Μιθριδάτου παλλακίδων ἀνήχθησαν,
as-many-as and of-the of-Mithridates concubines were-brought-up
οὐδεμίαν ἔγνω, πάσας δὲ τοῖς γονεῦσι καὶ οἰκείοις ἀνέπεμπεν.
none he-knew all but to-the parents and kinsmen he-sent-back
ἦσαν γὰρ αἱ πολλαὶ θυγατέρες καὶ γυναῖκες στρατηγῶν
were for the most daughters and wives of-generals
καὶ δυναστῶν. Στρατονίκη δέ, ἣ μέγιστον εἶχεν ἀξίωμα
and of-princes Stratonice but who greatest had dignity
καὶ τὸ πολυχρυσότατον τῶν φρουρίων ἐφύλαττεν, ἦν μέν,
and the richest-in-gold of-the fortresses guarded was indeed
ὡς ἔοικε, ψάλτου τινὸς οὐχ εὐτυχοῦς τἆλλα, πρεσβύτου
as it-seems of-a-harper a not fortunate in-other-respects old
δὲ θυγάτηρ, οὕτω δὲ εὐθὺς εἶλε παρὰ πότον
and daughter so and at-once she-captured at a-drinking-party
ψήλασα τὸν Μιθριδάτην, ὥστε ἐκείνην μὲν ἔχων
having-played-the-harp — Mithridates so-that her indeed having
ἀνεπαύετο, τὸν δὲ πρεσβύτην ἀπέπεμψε δυσφοροῦντα τῷ
he-went-to-rest the but old-man he-sent-away vexed at-the
μηδὲ προσρήσεως τυχεῖν ἐπιεικοῦς. ὡς μέντοι περὶ ὄρθρον
not-even of-a-greeting to-meet reasonable when however about dawn

ἐγερθεὶς εἶδεν ἔνδον ἐκπωμάτων μὲν ἀργυρῶν καὶ χρυσῶν
having-woken he-saw inside of-cups indeed silver and gold
τραπέζας, ὄχλον δὲ θεραπείας πολύν, εὐνούχους δὲ καὶ
tables crowd and of-servants great eunuchs and also
παῖδας ἱμάτια τῶν πολυτελῶν προσφέροντας αὐτῷ, καὶ
boys garments of-the costly bringing to-him and
πρὸ τῆς θύρας ἵππον ἑστῶτα κεκοσμημένον ὥσπερ οἱ
before the door a-horse standing adorned like those
τῶν φίλων τοῦ βασιλέως, χλευασμὸν εἶναι τὸ χρῆμα καὶ
of-the friends of-the king a-mockery to-be the thing and
παιδιὰν ἡγούμενος ὥρμησε φεύγειν διὰ θυρῶν. τῶν δὲ
a-joke thinking he-rushed to-flee through doors the but
θεραπόντων ἀντιλαμβανομένων, καὶ λεγόντων ὅτι πλουσίου
servants holding(-him) and saying that of-a-rich-man
τεθνηκότος ἔναγχος οἶκον αὐτῷ μέγαν ὁ βασιλεὺς
having-died lately house to-him great the king
δεδώρηται, καὶ ταῦτα μικραί τινες ἀπαρχαὶ καὶ δείγματα
has-presented and these-things small some first-fruits and samples
τῶν ἄλλων χρημάτων καὶ κτημάτων εἰσίν, οὕτω πιστεύσας
of-the other goods and possessions are thus having-believed
μόλις καὶ τὴν πορφύραν ἀναλαβὼν καὶ ἀναπηδήσας ἐπὶ
barely and the purple having-put-on and having-leapt onto
τὸν ἵππον ἤλαυνε διὰ τῆς πόλεως βοῶν· "Ἐμὰ ταῦτα
the horse he-rode through the city shouting mine these-things
πάντα ἐστί." πρὸς δὲ τοὺς καταγελῶντας οὐ τοῦτο
all are to and those laughing not this
ἔλεγεν εἶναι θαυμαστόν, ἀλλ' ὅτι μὴ λίθοις βάλλει τοὺς
he-said to-be wonderful but that not with-stones he-pelts those
ἀπαντῶντας ὑφ' ἡδονῆς μαινόμενος. ταύτης μὲν ἦν καὶ
meeting(-him) from joy raving of-this indeed was both
γενεᾶς καὶ αἵματος ἡ Στρατονίκη. τῷ δὲ Πομπηΐῳ καὶ
family and blood — Stratonice — and to-Pompey both

τὸ χωρίον παρεδίδου τοῦτο καὶ δῶρα πολλὰ προσήνεγκεν,
the place handed-over this and gifts many brought
ὧν ἐκεῖνος ὅσα κόσμον ἱεροῖς καὶ λαμπρότητα τῷ
of-which he as-many-as adornment for-temples and splendor to-the
θριάμβῳ παρέξειν ἐφαίνετο λαβὼν μόνα, τὰ λοιπὰ τὴν
triumph to-furnish appeared having-taken only the rest —
Στρατονίκην ἐκέλευε κεκτῆσθαι χαίρουσαν. ὁμοίως δὲ καὶ
Stratonice bade to-possess rejoicing likewise and also
τοῦ βασιλέως τῶν Ἰβήρων κλίνην τε καὶ τράπεζαν καὶ
the king of-the Iberians a-couch both and table and
θρόνον, ἅπαντα χρυσᾶ, πέμψαντος αὐτῷ καὶ δεηθέντος
throne all golden having-sent to-him and having-begged(-him)
λαβεῖν, καὶ ταῦτα τοῖς ταμίαις παρέδωκεν εἰς τὸ δημόσιον.
to-accept also these to-the quaestors he-handed-over for the public(-treasury)
Ἐν δὲ τῷ Καινῷ φρουρίῳ καὶ γράμμασιν ἀπορρήτοις ὁ 37
in and the New fortress also writings secret —
Πομπήϊος ἐνέτυχε τοῦ Μιθριδάτου, καὶ διῆλθεν οὐκ ἀηδῶς
Pompey came-upon — of-Mithridates and went-through not unpleasantly
αὐτὰ πολλὴν ἔχοντα τοῦ ἤθους κατανόησιν. ὑπομνήματα γὰρ
them much having of-the character insight memoranda for
ἦν, ἐξ ὧν ἐφωράθη φαρμάκοις ἄλλους τε πολλοὺς καὶ
they-were from which he-was-detected with-poisons others both many and
τὸν υἱὸν Ἀριαράθην ἀνῃρηκὼς καὶ τὸν Σαρδιανὸν Ἀλκαῖον,
the son Ariarathes having-killed and the Sardian Alcaeus
ὅτι παρευδοκίμησεν αὐτὸν ἵπποις ἀγωνιστὰς ἐλαύνων.
because he-had-outdone him horses racing driving
ἦσαν δὲ ἀναγεγραμμέναι καὶ κρίσεις ἐνυπνίων, ὧν τὰ
were and recorded also interpretations of-dreams of-which the
μὲν αὐτὸς ἑωράκει, τὰ δὲ ἔνιαι τῶν γυναικῶν, ἐπιστολαί
some he had-seen the others some of-the women letters
τε Μονίμης πρὸς αὐτὸν ἀκόλαστοι καὶ πάλιν ἐκείνου πρὸς
and of-Monime to him licentious and again of-him to

αὐτήν. Θεοφάνης δὲ καὶ Ῥουτιλίου λόγον εὑρεθῆναί φησι
her Theophanes and also of-Rutilius a-speech to-have-been-found says
παροξυντικὸν ἐπὶ τὴν ἀναίρεσιν τῶν ἐν Ἀσίᾳ Ῥωμαίων. ὃ
inciting to the slaughter of-the in Asia Romans which
καλῶς εἰκάζουσιν οἱ πλεῖστοι κακοήθευμα τοῦ Θεοφάνους
rightly conjecture the most malicious-invention — of-Theophanes
εἶναι, τάχα μὲν οὐδὲν αὐτῷ τὸν Ῥουτίλιον ἐοικότα
to-be perhaps indeed in-nothing to-himself — Rutilius like
μισοῦντος, εἰκὸς δὲ καὶ διὰ Πομπήϊον, οὗ τὸν πατέρα
hating likely and also on-account-of Pompey whose the father
παμπόνηρον ἀπέδειξεν ὁ Ῥουτίλιος ἐν ταῖς ἱστορίαις.
utterly-wicked showed — Rutilius in the histories

IX · SYRIA, JUDAEA, AND THE DEATH OF MITHRIDATES

Pompey sets out to reach the Red Sea, annexes Syria, subdues Judaea, and arbitrates between kings. His freedman Demetrius lives grandly, and at Antioch Cato's friends laugh when a welcome Cato took for his own proves to be meant for Demetrius. Marching on Petra, Pompey hears that Mithridates is dead and sends his body to Sinope. He frees Mytilene, honors the philosophers of Rhodes and Athens, and, nearing Italy, divorces Mucia.

38 Ἐντεῦθεν εἰς Ἀμισὸν ἐλθὼν ὁ Πομπήϊος πάθος
thence to Amisus having-come — Pompey an-affection
νεμεσητὸν ὑπὸ φιλοτιμίας ἔπαθε. πολλὰ γὰρ τὸν
deserving-reproach from ambition suffered much for —
Λεύκολλον ἐπικερτομήσας, ὅτι τοῦ πολεμίου ζῶντος ἔγραφε
Lucullus having-taunted that the enemy being-alive he-wrote
διατάξεις καὶ δωρεὰς ἔνεμε καὶ τιμάς, ἃ συνῃρημένου
ordinances and gifts distributed and honors which having-been-concluded
πολέμου καὶ πέρας ἔχοντος εἰώθασι ποιεῖν οἱ νενικηκότες,
war and an-end having are-accustomed to-do the conquerors

αὐτὸς ἐν Βοσπόρῳ Μιθριδάτου κρατοῦντος καὶ συνειλοχότος
he in Bosporus Mithridates ruling and having-collected
ἀξιόμαχον δύναμιν, ὡς δὴ συντετελεσμένων ἁπάντων,
a-battle-worthy force as indeed completed everything
ἔπραττε ταὐτά, διακοσμῶν τὰς ἐπαρχίας καὶ διανέμων
did the-same-things arranging the provinces and distributing
δωρεάς, πολλῶν μὲν ἡγεμόνων καὶ δυναστῶν, βασιλέων δὲ
gifts many indeed commanders and princes kings and
δώδεκα βαρβάρων ἀφιγμένων πρὸς αὐτόν. ὅθεν οὐδὲ ἠξίωσε
twelve barbarian having-come to him whence not-even he-deigned
τὸν Πάρθον ἀντιγράφων, ὥσπερ οἱ λοιποί, βασιλέα βασιλέων
the Parthian writing-back like the rest king of-kings
προσαγορεῦσαι, τοῖς ἄλλοις χαριζόμενος. αὐτὸν δέ τις ἔρως
to-address the others gratifying him and a love
καὶ ζῆλος εἶχε Συρίαν ἀναλαβεῖν καὶ διὰ τῆς Ἀραβίας
and ardor possessed Syria to-take-over and through — Arabia
ἐπὶ τὴν ἐρυθρὰν ἐλάσαι θάλασσαν, ὡς τῷ περιϊόντι τὴν
to the red to-march sea so-that with-the surrounding the
οἰκουμένην πανταχόθεν Ὠκεανῷ προσμίξειε νικῶν· καὶ
inhabited-world on-all-sides Ocean he-might-make-contact conquering and
γὰρ ἐν Λιβύῃ πρῶτος ἄχρι τῆς ἐκτὸς θαλάσσης κρατῶν
for in Libya first as-far-as the outer sea conquering
προῆλθε, καὶ τὴν ἐν Ἰβηρίᾳ πάλιν ἀρχὴν ὡρίσατο Ῥωμαίοις
he-advanced and the in Iberia again dominion he-bounded for-Romans
τῷ Ἀτλαντικῷ πελάγει, καὶ τρίτον ἔναγχος Ἀλβανοὺς
with-the Atlantic sea and third lately Albanians
διώκων ὀλίγου ἐδέησεν ἐμβαλεῖν εἰς τὴν Ὑρκανίαν θάλασσαν.
pursuing a-little he-lacked to-reach to the Hyrcanian sea
ὡς οὖν συνάψων τῇ ἐρυθρᾷ τὴν περίοδον τῆς στρατείας
so then about-to-join to-the red the circuit of-the campaign

ἀνίστατο. καὶ γὰρ ἄλλως τὸν Μιθριδάτην ἑώρα δυσθήρατον
he-set-out and for otherwise — Mithridates he-saw hard-to-hunt
ὄντα τοῖς ὅπλοις καὶ φεύγοντα χαλεπώτερον ἢ μαχόμενον.
being with-the arms and fleeing more-difficult than fighting
39 Διὸ τούτῳ μὲν εἰπὼν ἰσχυρότερον ἑαυτοῦ πολέμιον
wherefore to-this-man indeed having-said stronger than-himself an-enemy
τὸν λιμὸν ἀπολείψειν, ἐπέστησε φυλακὰς τῶν νεῶν ἐπὶ τοὺς
the famine he-would-leave he-set guards of-the ships against the
πλέοντας εἰς Βόσπορον ἐμπόρους· καὶ θάνατος ἦν ἡ ζημία
sailing to Bosporus merchants and death was the penalty
τοῖς ἁλισκομένοις. ἀναλαβὼν δὲ τῆς στρατιᾶς τὴν πληθὺν
for-those caught having-taken and of-the army the multitude
συχνὴν προῆγε· καὶ τῶν μετὰ Τριαρίου πρὸς Μιθριδάτην
large he-led-forward and of-those with Triarius against Mithridates
ἀτυχῶς ἀγωνισαμένων καὶ πεσόντων ἐντυχὼν ἀτάφοις
unfortunately having-fought and fallen having-come-upon unburied
ἔτι τοῖς νεκροῖς, ἔθαψε λαμπρῶς καὶ φιλοτίμως ἅπαντας,
still the corpses he-buried splendidly and generously all
ὃ δοκεῖ παραλειφθὲν οὐχ ἥκιστα Λευκόλλῳ μίσους
which seems having-been-neglected not least for-Lucullus of-hatred
αἴτιον γενέσθαι. χειρωσάμενος δὲ δι' Ἀφρανίου τοὺς
cause to-have-become having-subdued and through Afranius the
περὶ Ἀμανὸν Ἄραβας καὶ καταβὰς αὐτὸς εἰς Συρίαν,
around Amanus Arabs and having-gone-down he into Syria
ταύτην μὲν ὡς οὐκ ἔχουσαν γνησίους βασιλεῖς ἐπαρχίαν
this indeed as not having legitimate kings a-province
ἀπέφηνε καὶ κτῆμα τοῦ δήμου Ῥωμαίων, τὴν δὲ Ἰουδαίαν
he-declared and possession of-the people of-Romans — and Judaea
κατεστρέψατο, καὶ συνέλαβεν Ἀριστόβουλον τὸν βασιλέα.
he-subdued and seized Aristobulus the king
πόλεις δὲ τὰς μὲν ἔκτιζε, τὰς δὲ ἠλευθέρου κολάζων
cities and the some he-founded the others he-freed punishing

τοὺς ἐν αὐταῖς τυράννους. τὴν δὲ πλείστην διατριβὴν ἐν
the in them tyrants the and most time in
τῷ δικάζειν ἐποιεῖτο, πόλεων καὶ βασιλέων ἀμφισβητήματα
the judging he-spent of-cities and kings disputes
διαιτῶν, ἐφ' ἃ δὲ αὐτὸς οὐκ ἐξικνεῖτο, πέμπων τοὺς φίλους,
arbitrating to which and he not reached sending the friends
ὥσπερ Ἀρμενίοις καὶ Πάρθοις περὶ ἧς διεφέροντο χώρας
as for-Armenians and Parthians about which they-disputed land
τὴν κρίσιν ποιησαμένοις ἐπ' αὐτῷ τρεῖς ἀπέστειλε κριτὰς
the decision having-referred to him three he-sent judges
καὶ διαλλακτάς. μέγα μὲν γὰρ ἦν ὄνομα τῆς δυνάμεως, οὐκ
and arbitrators great indeed for was name of-his power not
ἔλαττον δὲ τῆς ἀρετῆς καὶ πραότητος· ᾧ καὶ τὰ πλεῖστα
less and of-his virtue and mildness by-which also the most
τῶν περὶ αὐτὸν ἁμαρτήματα φίλων καὶ συνήθων ἀπέκρυπτε,
of-the around him errors of-friends and intimates he-concealed
κωλύειν μὲν ἢ κολάζειν τοὺς πονηρευομένους οὐ πεφυκώς,
to-prevent indeed or to-punish the evildoers not by-nature-fitted
αὐτὸν δὲ παρέχων τοῖς ἐντυγχάνουσι τοιοῦτον ὥστε καὶ
him and offering to-those meeting(-him) such so-that also
τὰς ἐκείνων πλεονεξίας καὶ βαρύτητας εὐκόλως ὑπομένειν.
the their greed and harshness patiently to-endure
Ὁ δὲ μέγιστον δυνάμενος παρ' αὐτῷ Δημήτριος ἦν 40
the and most having-power with him Demetrius was
ἀπελεύθερος, οὐκ ἄφρων εἰς τἆλλα νεανίας, ἄγαν
a-freedman not senseless in other-things a-youth too-much
δὲ τῇ τύχῃ χρώμενος· περὶ οὗ καὶ τοιόνδε τι
but the fortune using about whom also such something
λέγεται. Κάτων ὁ φιλόσοφος ἔτι μὲν ὢν νέος, ἤδη δὲ
is-told Cato the philosopher still indeed being young already but
μεγάλην ἔχων δόξαν καὶ μέγα φρονῶν, ἀνέβαινεν
great having reputation and great thinking(-of-himself) went-up

εἰς Ἀντιόχειαν, οὐκ ὄντος αὐτόθι Πομπηΐου, βουλόμενος
to Antioch not being there Pompey wishing
ἱστορῆσαι τὴν πόλιν. αὐτὸς μὲν οὖν, ὥσπερ ἀεί, πεζὸς
to-see the city he indeed then as always on-foot
ἐβάδιζεν, οἱ δὲ φίλοι συνώδευον ἵπποις χρώμενοι. κατιδὼν
walked the and friends traveled-with on-horses riding having-seen
δὲ πρὸ τῆς πύλης ὄχλον ἀνδρῶν ἐν ἐσθῆσι λευκαῖς καὶ
and before the gate a-crowd of-men in garments white and
παρὰ τὴν ὁδὸν ἔνθεν μὲν τοὺς ἐφήβους, ἔνθεν δὲ τοὺς
along the road on-this-side indeed the youths on-that and the
παῖδας διακεκριμένους, ἐδυσχέραινεν οἰόμενος εἰς τιμήν τινα
boys separated he-was-annoyed thinking for honor some
καὶ θεραπείαν ἑαυτοῦ μηδὲν δεομένου ταῦτα γίνεσθαι.
and attendance of-himself nothing needing these-things to-be-happening
τοὺς μέντοι φίλους ἐκέλευσε καταβῆναι καὶ πορεύεσθαι μετ᾽
the however friends he-bade to-dismount and to-walk with
αὐτοῦ· γενομένοις δὲ πλησίον ὁ πάντα διακοσμῶν
him having-come and near the(-man) all arranging
ἐκεῖνα καὶ καθιστὰς ἔχων στέφανον καὶ ῥάβδον ἀπήντησε,
those-things and ordering having a-wreath and a-wand met(-them)
πυνθανόμενος παρ᾽ αὐτῶν ποῦ Δημήτριον ἀπολελοίπασι
inquiring from them where Demetrius they-have-left
καὶ πότε ἀφίξεται. τοὺς μὲν οὖν φίλους τοῦ Κάτωνος
and when he-will-arrive the indeed then friends — of-Cato
γέλως ἔλαβεν, ὁ δὲ Κάτων εἰπών, "Ὢ τῆς ἀθλίας
laughter seized — and Cato having-said O the wretched
πόλεως," παρῆλθεν, οὐδὲν ἕτερον ἀποκρινάμενος.
city passed-by nothing other having-answered
Οὐ μὴν ἀλλὰ καὶ τοῖς ἄλλοις τοῦτον τὸν Δημήτριον ἧττον
not indeed but also to-the others this — Demetrius less
ἐπίφθονον ἐποίει αὐτὸς ὁ Πομπήϊος ἐντρυφώμενος ὑπ᾽
odious made himself — Pompey being-played-with by

αὐτοῦ καὶ μὴ δυσκολαίνων. λέγεται γάρ, ὅτι πολλάκις ἐν
him and not taking-offense it-is-said for that often at
ταῖς ὑποδοχαῖς τοῦ Πομπηΐου προσμένοντος καὶ δεχομένου
the receptions — Pompey waiting and receiving
τοὺς ἄλλους ἐκεῖνος ἤδη κατέκειτο σοβαρός, ἔχων δι᾽
the others he already reclined haughtily having over
ὤτων κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον. οὔπω δὲ εἰς
ears down the head the cloak not-yet and to
Ἰταλίαν ἐπανεληλυθὼς ἐκέκτητο τῆς Ῥώμης τὰ ἥδιστα
Italy having-returned he-had-acquired — of-Rome the pleasantest
προάστεια καὶ τῶν ἡβητηρίων τὰ κάλλιστα, καὶ κῆποι
suburbs and of-the pleasure-grounds the most-beautiful and gardens
πολυτελεῖς ἦσαν ὀνομαζόμενοι Δημητρίου· καίτοι Πομπήϊος
costly were named of-Demetrius and-yet Pompey
αὐτὸς ἄχρι τοῦ τρίτου θριάμβου μετρίως καὶ ἀφελῶς
himself until the third triumph modestly and simply
ᾤκησεν. ὕστερον δὲ Ῥωμαίοις τοῦτο δὴ τὸ καλὸν καὶ
lived later and for-Romans this indeed the beautiful and
περιβόητον ἀνιστὰς θέατρον, ὥσπερ ἐφόλκιόν τι,
famous erecting theater like a-small-boat-in-tow something
παρετεκτήνατο λαμπροτέραν οἰκίαν ἐκείνης, ἀνεπίφθονον
he-built-beside more-splendid a-house than-that unenvied
δὲ καὶ ταύτην, ὥστε τὸν γενόμενον δεσπότην αὐτῆς
but also this so-that the having-become master of-it
μετὰ Πομπήϊον εἰσελθόντα θαυμάζειν καὶ πυνθάνεσθαι ποῦ
after Pompey having-entered to-wonder and to-inquire where
Πομπήϊος Μάγνος ἐδείπνει. ταῦτα μὲν οὖν οὕτω λέγεται.
Pompey Magnus used-to-dine these-things indeed then thus are-told
Τοῦ δὲ βασιλέως τῶν περὶ τὴν Πέτραν Ἀράβων πρότερον 41
the and king of-the around — Petra Arabs formerly
μὲν ἐν οὐδενὶ λόγῳ τὰ Ῥωμαίων τιθεμένου, τότε δὲ
indeed in no account the(-affairs) of-Romans placing then but

δείσαντος ἰσχυρῶς καὶ γράψαντος ὅτι πάντα πείθεσθαι καὶ
having-feared strongly and having-written that all to-obey and
ποιεῖν ἔγνωκεν, ἐκβεβαιώσασθαι βουλόμενος αὐτοῦ τὴν
to-do he-had-resolved to-confirm wishing his the
διάνοιαν ὁ Πομπήϊος ἐστράτευσεν ἐπὶ τὴν Πέτραν οὐ
intention — Pompey marched against — Petra not
πάνυ τι τοῖς πολλοῖς ἄμεμπτον στρατείαν. ἀπόδρασιν γὰρ
very at-all to-the many blameless campaign a-running-away for
ᾤοντο τῆς Μιθριδάτου διώξεως εἶναι, καὶ πρὸς ἐκεῖνον
they-thought from-the of-Mithridates pursuit to-be and against that-one
ἠξίουν τρέπεσθαι τὸν ἀρχαῖον ἀνταγωνιστήν, αὖθις
they-thought-fit to-turn the old antagonist again
ἀναζωπυροῦντα καὶ παρασκευαζόμενον, ὡς ἀπηγγέλλετο,
rekindling and preparing as was-reported
διὰ Σκυθῶν καὶ Παιόνων στρατὸν ἐλαύνειν ἐπὶ τὴν
through Scythians and Paeonians an-army to-march against —
Ἰταλίαν. ὁ δὲ ῥᾷον οἰόμενος αὐτοῦ καταλύσειν τὴν
Italy he but more-easily thinking his to-destroy the
δύναμιν πολεμοῦντος ἢ τὸ σῶμα λήψεσθαι φεύγοντος, οὐκ
power making-war than the person to-take fleeing not
ἐβούλετο τρίβεσθαι μάτην περὶ τὴν δίωξιν, ἑτέρας δὲ
wished to-wear-himself-out in-vain about the pursuit other and
τοῦ πολέμου παρενθήκας ἐποιεῖτο καὶ τὸν χρόνον εἵλκεν.
of-the war digressions he-made and the time he-dragged-out
Ἡ δὲ τύχη τὴν ἀπορίαν ἔλυσεν. οὐκέτι γὰρ αὐτοῦ τῆς
the but fortune the difficulty solved no-longer for of-him —
Πέτρας πολλὴν ὁδὸν ἀπέχοντος, ἤδη δὲ τῆς ἡμέρας
from-Petra much road being-distant already and of-the day
ἐκείνης βεβλημένου χάρακα καὶ γυμνάζοντος ἑαυτὸν ἵππῳ
that having-pitched a-palisade and exercising himself on-horse
παρὰ τὸ στρατόπεδον, γραμματηφόροι προσήλαυνον ἐκ
beside the camp dispatch-bearers rode-up from

Πόντου κομίζοντες εὐαγγέλια. δῆλοι δ' εὐθύς εἰσι ταῖς
Pontus bringing good-news clear and at-once they-are by-the
αἰχμαῖς τῶν δοράτων· δάφναις γὰρ ἀναστέφονται. τούτους
points of-the spears with-laurels for they-are-wreathed these
ἰδόντες οἱ στρατιῶται συνετρόχαζον πρὸς τὸν Πομπήϊον.
having-seen the soldiers ran-together to — Pompey
ὁ δὲ πρῶτον μὲν ἐβούλετο τὰ γυμνάσια συντελεῖν,
he but first indeed wished the exercises to-finish
βοώντων δὲ καὶ δεομένων καταπηδήσας ἀπὸ τοῦ ἵππου
shouting but and begging having-leapt-down from the horse
καὶ λαβὼν τὰ γράμματα προῄει. βήματος δὲ οὐκ ὄντος
and having-taken the letters went-forward tribunal and not being
οὐδὲ τοῦ στρατιωτικοῦ γενέσθαι φθάσαντος (ὃ
nor the military(-one) to-have-been-made having-been-in-time which
ποιοῦσιν αὐτοὶ τῆς γῆς ἐκτομὰς βαθείας λαμβάνοντες
they-make themselves of-the earth cuttings deep taking
καὶ κατ' ἀλλήλων συντιθέντες), ὑπὸ τῆς τότε σπουδῆς
and on each-other putting-together from the then haste
καὶ προθυμίας τὰ σάγματα τῶν ὑποζυγίων συμφορήσαντες
and eagerness the pack-saddles of-the beasts-of-burden having-piled-together
ὕψος ἐξῆραν. ἐπὶ τοῦτο προβὰς ὁ Πομπήϊος ἀπήγγειλεν
a-height they-raised onto this having-stepped — Pompey announced
αὐτοῖς ὅτι Μιθριδάτης τέθνηκε στασιάσαντος Φαρνάκου
to-them that Mithridates is-dead having-revolted Pharnaces
τοῦ υἱοῦ διαχρησάμενος αὐτόν, τὰ δὲ ἐκεῖ πάντα
the son having-made-away-with him the and there all
πράγματα Φαρνάκης κατεκληρώσατο, καὶ ἑαυτῷ καὶ
affairs Pharnaces had-taken-possession-of and for-himself and
Ῥωμαίοις γέγραφε ποιούμενος.
for-Romans has-written holding(-them)

42 Ἐκ τούτου τὸ μὲν στράτευμα τῇ χαρᾷ χρώμενον,
from this the indeed army in-the joy indulging
ὡς εἰκός, ἐν θυσίαις καὶ συνουσίαις διῆγεν, ὡς ἐν
as likely in sacrifices and banquets passed(-the-time) as in
τῷ Μιθριδάτου σώματι μυρίων τεθνηκότων πολεμίων.
the of-Mithridates person of-ten-thousands having-died enemies
Πομπήϊος δὲ ταῖς πράξεσιν αὐτοῦ καὶ ταῖς στρατείαις
Pompey and to-the deeds his and to-the campaigns
κεφαλὴν ἐπιτεθεικὼς οὐ πάνυ ῥᾳδίως οὕτω προσδοκηθεῖσαν,
a-head having-put not very easily thus expected
εὐθὺς ἀνέζευξεν ἐκ τῆς Ἀραβίας· καὶ ταχὺ τὰς ἐν μέσῳ
at-once broke-camp from — Arabia and quickly the in between
διεξελθὼν ἐπαρχίας εἰς Ἀμισὸν ἀφίκετο, καὶ κατέλαβε
having-passed-through provinces to Amisus arrived and found
πολλὰ μὲν δῶρα παρὰ Φαρνάκου κεκομισμένα, πολλὰ δὲ
many indeed gifts from Pharnaces brought many and
σώματα τῶν βασιλικῶν, αὐτὸν δὲ τὸν Μιθριδάτου νεκρὸν
bodies of-the royal(-house) itself and the of-Mithridates corpse
οὐ πάνυ γνώριμον ἀπὸ τοῦ προσώπου (τὸν γὰρ ἐγκέφαλον
not very recognizable from the face the for brain
ἔλαθεν ἐκτῆξαι τοὺς θεραπεύοντας)· ἀλλὰ ταῖς οὐλαῖς
escaped(-them) to-dry-out the embalmers but by-the scars
ἐπεγίγνωσκον οἱ δεόμενοι τοῦ θεάματος. οὐ γὰρ αὐτὸς
recognized(-it) those wanting the sight not for himself
Πομπήϊος ἰδεῖν ὑπέμεινεν, ἀλλ᾽ ἀφοσιωσάμενος τὸ νεμεσητὸν
Pompey to-see endured but having-averted the divine-wrath
εἰς Σινώπην ἀπέπεμψε. τῆς δ᾽ ἐσθῆτος, ἣν ἐφόρει, καὶ
to Sinope he-sent(-it) of-the and clothing which he-wore and
τῶν ὅπλων τὸ μέγεθος καὶ τὴν λαμπρότητα ἐθαύμασε·
of-the arms the size and the splendor he-admired
καίτοι τὸν μὲν ξιφιστῆρα πεποιημένον ἀπὸ τετρακοσίων
and-yet the indeed sword-belt made at four-hundred

ταλάντων Πόπλιος κλέψας ἐπώλησεν Ἀριαράθῃ, τὴν δὲ
talents Publius having-stolen sold to-Ariarathes the and
κίταριν Γάϊος ὁ τοῦ Μιθριδάτου σύντροφος ἔδωκε κρύφα
tiara Gaius the — of-Mithridates foster-brother gave secretly
δεηθέντι Φαύστῳ τῷ Σύλλα παιδί, θαυμαστῆς οὖσαν
having-asked to-Faustus the of-Sulla son of-wonderful being
ἐργασίας. ὃ τότε τὸν Πομπήϊον διέλαθε, Φαρνάκης δὲ
workmanship which then — Pompey escaped-notice Pharnaces but
γνοὺς ὕστερον ἐτιμωρήσατο τοὺς ὑφελομένους.
having-learned later punished the having-filched(-them)
Διοικήσας δὲ τὰ ἐκεῖ καὶ καταστησάμενος οὕτως ἤδη
having-administered and the there and having-settled(-them) thus already
πανηγυρικώτερον ἐχρῆτο τῇ πορείᾳ. καὶ γὰρ εἰς Μιτυλήνην
more-festively he-made the journey and for to Mytilene
ἀφικόμενος τήν τε πόλιν ἠλευθέρωσε διὰ Θεοφάνη,
having-arrived the both city he-freed for-the-sake-of Theophanes
καὶ τὸν ἀγῶνα τὸν πάτριον ἐθεάσατο τῶν ποιητῶν,
and the contest the ancestral he-watched of-the poets
ὑπόθεσιν μίαν ἔχοντα τὰς ἐκείνου πράξεις. ἡσθεὶς δὲ τῷ
subject one having the his deeds pleased and with-the
θεάτρῳ περιεγράψατο τὸ εἶδος αὐτοῦ καὶ τὸν τύπον, ὡς
theater he-had-drawn the form of-it and the plan as
ὅμοιον ἀπεργασόμενος τὸ ἐν Ῥώμῃ, μεῖζον δὲ καὶ
similar intending-to-make the(-one) in Rome greater and and
σεμνότερον. ἐν δὲ Ῥόδῳ γενόμενος πάντων μὲν ἠκροάσατο
more-majestic in and Rhodes having-been of-all indeed he-heard
τῶν σοφιστῶν, καὶ δωρεὰν ἑκάστῳ τάλαντον ἔδωκε·
the sophists and as-a-gift to-each a-talent gave
Ποσειδώνιος δὲ καὶ τὴν ἀκρόασιν ἀνέγραψεν ἣν ἔσχεν
Posidonius and also the lecture wrote-up which he-gave
ἐπ᾽ αὐτοῦ πρὸς Ἑρμαγόραν τὸν ῥήτορα περὶ τῆς καθόλου
before him against Hermagoras the rhetorician about the general

ζητήσεως ἀντιταξάμενος. ἐν δὲ Ἀθήναις τὰ μὲν πρὸς
inquiry having-opposed(-him) in and Athens the(-things) indeed toward
τοὺς φιλοσόφους ὅμοια τοῦ Πομπηΐου· τῇ πόλει δὲ ἐπιδοὺς
the philosophers similar — of-Pompey to-the city and having-given
εἰς ἐπισκευὴν πεντήκοντα τάλαντα λαμπρότατος ἀνθρώπων
for repair fifty talents most-splendid of-men
ἤλπιζεν ἐπιβήσεσθαι τῆς Ἰταλίας καὶ ποθὼν ὀφθήσεσθαι
he-hoped to-set-foot-on — Italy and longing to-be-seen
τοῖς οἴκοι ποθοῦσιν. ᾧ δ' ἄρα πρὸς τὰ λαμπρὰ καὶ
by-those at-home longing(-for-him) to-whom but then to the splendid and
μεγάλα τῶν ἀπὸ τῆς τύχης ἀγαθῶν ἀεί τινα κεραννύναι
great of-the from the fortune goods always some to-mix
κακοῦ μοῖραν ἐπιμελές ἐστι δαιμονίῳ, τοῦτο ὑποικούρει
of-evil portion careful is for-the-divine this was-lurking
πάλαι παρασκευάζον αὐτῷ λυπηροτέραν τὴν ἐπάνοδον.
long preparing for-him more-painful the return
ἐξύβρισε γὰρ ἡ Μουκία παρὰ τὴν ἀποδημίαν αὐτοῦ. καὶ
behaved-outrageously for — Mucia during the absence his and
πόρρω μὲν ὢν ὁ Πομπήϊος κατεφρόνει τοῦ λόγου· πλησίον
far indeed being — Pompey disregarded the talk near
δὲ Ἰταλίας γενόμενος καὶ σχολάζοντι τῷ λογισμῷ μᾶλλον,
but Italy having-come and at-leisure with-the reasoning more
ὡς ἔοικε, τῆς αἰτίας ἁψάμενος, ἔπεμψεν αὐτῇ τὴν ἄφεσιν,
as it-seems the charge having-taken-up he-sent to-her the divorce
οὔτε τότε γράψας οὔθ' ὕστερον ἐφ' οἷς ἀφῆκεν
neither then having-written nor later on what-grounds he-divorced
ἐξειπών· ἐν δ' ἐπιστολαῖς Κικέρωνος ἡ αἰτία γέγραπται.
having-declared in and letters of-Cicero the cause is-written

X · THE RETURN AND THE THIRD TRIUMPH

Pompey disbands his army on landing in Italy, and the cities escort him unarmed to Rome. He seeks Cato's nieces in marriage and is refused, and his bribery for Afranius disgraces him. His two-day triumph over nations from Pontus to Arabia brings vast sums to the treasury and makes him master over three continents. From then his fortune turns: Lucullus and Cato thwart him in the senate, he leans on Clodius, abandons Cicero, joins Caesar and Crassus, and marries Caesar's daughter Julia.

Λόγοι δὲ παντοδαποὶ περὶ τοῦ Πομπηΐου προκατέπιπτον εἰς 43
reports and of-all-kinds about — Pompey fell-ahead into
τὴν Ῥώμην, καὶ θόρυβος ἦν πολύς, ὡς εὐθὺς ἄξοντος ἐπὶ
— Rome and tumult was great as at-once going-to-lead against
τὴν πόλιν τὸ στράτευμα καὶ μοναρχίας βεβαίας ἐσομένης.
the city the army and monarchy secure going-to-be
Κράσσος δὲ τοὺς παῖδας καὶ τὰ χρήματα λαβὼν
Crassus and the children and the money having-taken
ὑπεξῆλθεν, εἴτε δείσας ἀληθῶς, εἴτε μᾶλλον, ὡς ἐδόκει,
slipped-away whether having-feared truly or rather as it-seemed
πίστιν ἀπολείπων τῇ διαβολῇ καὶ τὸν φθόνον ποιῶν
credence leaving to-the slander and the envy making
τραχύτερον. εὐθὺς οὖν ἐπιβὰς Ἰταλίας ὁ Πομπήϊος καὶ
harsher at-once then having-set-foot-on Italy — Pompey and
συναγαγὼν εἰς ἐκκλησίαν τοὺς στρατιώτας καὶ τὰ πρέποντα
having-gathered into assembly the soldiers and the fitting(-things)
διαλεχθεὶς καὶ φιλοφρονησάμενος, ἐκέλευσε διαλύεσθαι
having-said and having-shown-kindness bade to-disperse
κατὰ πόλιν ἑκάστους καὶ τρέπεσθαι πρὸς τὰ οἰκεῖα,
by city each and to-turn to the own(-affairs)
μεμνημένους αὖθις ἐπὶ τὸν θρίαμβον αὐτῷ συνελθεῖν. οὕτω
remembering again for the triumph with-him to-come-together thus

δὲ τῆς στρατιᾶς σκεδασθείσης καὶ πυνθανομένων ἁπάντων
and the army having-been-scattered and learning all
πρᾶγμα συνέβη θαυμαστόν. ὁρῶσαι γὰρ αἱ πόλεις Πομπήϊον
a-thing happened wonderful seeing for the cities Pompey
Μάγνον ἄνοπλον καὶ μετ᾽ ὀλίγων τῶν συνήθων ὥσπερ ἐξ
Magnus unarmed and with few of-the intimates as-if from
ἄλλης ἀποδημίας διαπορευόμενον, ἐκχεόμεναι δι᾽ εὔνοιαν καὶ
another journey passing-through pouring-out from goodwill and
προπέμπουσαι μετὰ μείζονος δυνάμεως συγκατῆγον
escorting(-him) with greater force brought(-him)-down-with(-them)
εἰς τὴν Ῥώμην, εἴ τι κινεῖν διενοεῖτο καὶ νεωτερίζειν
into — Rome if anything to-move he-intended and to-make-revolution
τότε, μηδὲν ἐκείνου δεόμενον τοῦ στρατεύματος.
then nothing of-that needing the army

44 Ἐπεὶ δὲ ὁ νόμος οὐκ εἴα πρὸ τοῦ θριάμβου παρελθεῖν
when and the law not allowed before the triumph to-come
εἰς τὴν πόλιν, ἔπεμψεν ἀξιῶν εἰς τὴν βουλὴν ἀναβαλέσθαι
into the city he-sent asking to the senate to-postpone
τὰς τῶν ὑπάτων ἀρχαιρεσίας, καὶ δοῦναι ταύτην αὐτῷ τὴν
the of-the consuls elections and to-give this to-him the
χάριν ὅπως παρὼν Πείσωνι συναρχαιρεσιάσῃ. Κάτωνος δὲ
favor so-that being-present for-Piso he-might-canvass Cato and
πρὸς τὴν ἀξίωσιν ἐνστάντος οὐκ ἔτυχε τοῦ βουλεύματος.
against the request having-opposed not he-obtained the plan
θαυμάσας δὲ τὴν παρρησίαν αὐτοῦ καὶ τὸν τόνον ᾧ μόνος
admiring but the outspokenness his and the vigor which alone
ἐχρῆτο φανερῶς ὑπὲρ τῶν δικαίων, ἐπεθύμησεν ἁμῶς
he-used openly on-behalf-of the just he-desired in-some-way
γέ πως κτήσασθαι τὸν ἄνδρα· καὶ δυεῖν οὐσῶν ἀδελφιδῶν
at-least somehow to-win the man and two being nieces
τῷ Κάτωνι τὴν μὲν αὐτὸς ἐβούλετο λαβεῖν γυναῖκα, τὴν
— to-Cato the one he wished to-take as-wife the

δὲ τῷ παιδὶ συνοικίσαι. τοῦ δὲ Κάτωνος ὑπιδομένου τὴν
other for-the son to-marry — but Cato suspecting the
πεῖραν, ὡς διαφθορὰν οὖσαν αὐτοῦ τρόπον τινὰ δεκαζομένου
attempt as corruption being of-himself in-a-way some being-bribed
διὰ τῆς οἰκειότητος, ἥ τε ἀδελφὴ καὶ ἡ γυνὴ χαλεπῶς
through the relationship the both sister and the wife grievously
ἔφερον εἰ Πομπήϊον Μάγνον ἀποτρίψεται κηδεστήν. ἐν
bore(-it) if Pompey Magnus he-should-reject as-a-connection in
τούτῳ δὲ βουλόμενος ὕπατον ἀποδεῖξαι Πομπήϊος Ἀφράνιον
this and wishing consul to-appoint Pompey Afranius
ἀργύριον εἰς τὰς φυλὰς ἀνήλισκεν ὑπὲρ αὐτοῦ, καὶ
money among the tribes spent on-behalf-of him and
τοῦτο κατιόντες εἰς τοὺς Πομπηΐου κήπους ἐλάμβανον,
this going-down into the of-Pompey gardens they-received
ὥστε τὸ πρᾶγμα περιβόητον εἶναι καὶ τὸν Πομπήϊον
so-that the thing notorious to-be and — Pompey
ἀκούειν κακῶς, ἧς αὐτὸς ἀρχῆς ἐφ᾽ οἷς κατώρθωσεν
to-hear ill which he office for what he-achieved
ὡς μεγίστης ἔτυχε, ταύτην ὤνιον ποιοῦντα τοῖς δι᾽
as greatest obtained this purchasable making for-those through
ἀρετῆς κτήσασθαι μὴ δυναμένοις. "Τούτων μέντοι," πρὸς
virtue to-acquire(-it) not being-able of-these however to
τὰς γυναῖκας ὁ Κάτων ἔφησε, "τῶν ὀνειδῶν κοινωνητέον
the women — Cato said the reproaches we-must-share
οἰκείοις Πομπηΐου γενομένοις." αἱ δὲ ἀκούσασαι συνέγνωσαν
kin to-Pompey having-become they and having-heard agreed
βέλτιον αὐτῶν ἐκεῖνον λογίζεσθαι περὶ τοῦ πρέποντος.
better than-they he to-reckon about the fitting
Τοῦ δὲ θριάμβου τῷ μεγέθει, καίπερ εἰς ἡμέρας 45
of-the and triumph for-the magnitude although into days
δύο μερισθέντος, ὁ χρόνος οὐκ ἐξήρκεσεν, ἀλλὰ τῶν
two divided the time not sufficed but of-the

παρεσκευασμένων πολλὰ τῆς θέας ἐξέπεσεν, ἑτέρας
prepared(-things) many from-the show fell-out of-another
ἀποχρῶντα πομπῆς ἀξίωμα καὶ κόσμος εἶναι. γράμμασι
sufficing procession dignity and adornment to-be by-inscriptions
δὲ προηγουμένοις ἐδηλοῦτο τὰ γένη καθ' ὧν ἐθριάμβευεν.
and borne-in-front were-shown the nations over which he-triumphed
ἦν δὲ τάδε· Πόντος, Ἀρμενία, Καππαδοκία, Παφλαγονία,
were and these Pontus Armenia Cappadocia Paphlagonia
Μηδία, Κολχίς, Ἴβηρες, Ἀλβανοί, Συρία, Κιλικία,
Media Colchis Iberians Albanians Syria Cilicia
Μεσοποταμία, τὰ περὶ Φοινίκην καὶ Παλαιστίνην,
Mesopotamia the(-parts) around Phoenicia and Palestine
Ἰουδαία, Ἀραβία, τὸ πειρατικὸν ἅπαν ἐν γῇ καὶ θαλάσσῃ
Judaea Arabia the piracy all on land and sea
καταπεπολεμημένον. ἐν δὲ τούτοις φρούρια μὲν ἡλωκότα
warred-down in and these fortresses indeed captured
χιλίων οὐκ ἐλάττονα, πόλεις δὲ οὐ πολὺ τῶν ἐνακοσίων
than-a-thousand not fewer cities and not much the nine-hundred
ἀποδέουσαι, πειρατικαὶ δὲ νῆες ὀκτακόσιαι, κατοικίαι δὲ
falling-short-of piratical and ships eight-hundred settlements and
πόλεων μιᾶς δέουσαι τετταράκοντα. πρὸς δὲ τούτοις ἔφραζε
of-cities one lacking forty besides and these he-declared
διὰ τῶν γραμμάτων ὅτι πεντακισχίλιαι μὲν μυριάδες ἐκ
through the inscriptions that five-thousand indeed ten-thousands from
τῶν τελῶν ὑπῆρχον, ἐκ δὲ ὧν αὐτὸς προσεκτήσατο τῇ
the taxes there-were from and what he added for-the
πόλει μυριάδας ὀκτακισχιλίας πεντακοσίας λαμβάνουσιν,
city ten-thousands eight-thousand five-hundred they-receive
ἀναφέρεται δὲ εἰς τὸ δημόσιον ταμεῖον ἐν νομίσματι καὶ
is-brought and into the public treasury in coin and
κατασκευαῖς ἀργυρίου καὶ χρυσίου δισμύρια τάλαντα,
wrought-articles of-silver and of-gold twenty-thousand talents

πάρεξ τῶν εἰς τοὺς στρατιώτας δεδομένων, ὧν ὁ
apart-from the to the soldiers given of-which the-one
τοὐλάχιστον αἴρων κατὰ λόγον δραχμὰς εἴληφε χιλίας
the-least receiving according-to reckoning drachmas has-received thousand
πεντακοσίας. αἰχμάλωτοι δ' ἐπομπεύθησαν, ἄνευ τῶν
five-hundred captives and were-led-in-procession besides the
ἀρχιπειρατῶν, υἱὸς Τιγράνου τοῦ Ἀρμενίου μετὰ γυναικὸς
pirate-chiefs son of-Tigranes the Armenian with wife
καὶ θυγατρός, αὐτοῦ τε Τιγράνου τοῦ βασιλέως γυνὴ
and daughter himself and of-Tigranes the king wife
Ζωσίμη, καὶ βασιλεὺς Ἰουδαίων Ἀριστόβουλος, Μιθριδάτου
Zosime and king of-the-Jews Aristobulus of-Mithridates
δὲ ἀδελφὴ καὶ πέντε τέκνα, καὶ Σκυθίδες γυναῖκες, Ἀλβανῶν
and sister and five children and Scythian women of-Albanians
δὲ καὶ Ἰβήρων ὅμηροι καὶ τοῦ Κομμαγηνῶν βασιλέως,
and and of-Iberians hostages and of-the of-Commagenians king
καὶ τρόπαια πάμπολλα καὶ ταῖς μάχαις ἰσάριθμα πάσαις
and trophies very-many and to-the battles equal-in-number all
ἃς ἢ αὐτὸς ἢ διὰ τῶν στρατηγῶν ἐνίκησε. μέγιστον
which either he or through the generals he-won greatest
δὲ ὑπῆρχε πρὸς δόξαν καὶ μηδενὶ τῶν πώποτε Ῥωμαίων
and was toward glory and for-none of-the ever Romans
γεγονός, ὅτι τὸν τρίτον θρίαμβον ἀπὸ τῆς τρίτης
having-happened that the third triumph from the third
ἠπείρου κατήγαγεν. ἐπεὶ τρίς γε καὶ πρότερον ἦσαν
continent he-celebrated since three-times at-least also before were
ἕτεροι τεθριαμβευκότες· ἐκεῖνος δὲ τὸν μὲν πρῶτον ἐκ
others having-triumphed he but the indeed first from
Λιβύης, τὸν δὲ δεύτερον ἐξ Εὐρώπης, τοῦτον δὲ τὸν
Libya the and second from Europe this and the

τελευταῖον ἀπὸ τῆς Ἀσίας εἰσαγαγὼν τρόπον τινα τὴν
last from — Asia having-celebrated in-a-way some the
οἰκουμένην ἐδόκει τοῖς τρισὶν ὑπῆχθαι θριάμβοις.
inhabited-world seemed by-the three to-have-been-brought-under triumphs
46 Ἡλικίᾳ δὲ τότε ἦν, ὡς μὲν οἱ κατὰ πάντα τῷ Ἀλεξάνδρῳ
in-age and then he-was as indeed those in everything — to-Alexander
παραβάλλοντες αὐτὸν καὶ προσβιβάζοντες ἀξιοῦσι, νεώτερος
comparing him and assimilating(-him) claim younger
τῶν τριάκοντα καὶ τεττάρων ἐτῶν, ἀληθείᾳ δὲ τοῖς
than-the thirty and four years in-truth but to-the
τετταράκοντα προσῆγεν. ὡς ὤνητό γ' ἂν
forty he-was-approaching how he-would-have-profited at-least —
ἐνταῦθα τοῦ βίου παυσάμενος, ἄχρι οὗ τὴν Ἀλεξάνδρου
there the life having-ended until which the of-Alexander
τύχην ἔσχεν· ὁ δὲ ἐπέκεινα χρόνος αὐτῷ τὰς μὲν εὐτυχίας
fortune he-had the and beyond time for-him the indeed successes
ἤνεγκεν ἐπιφθόνους, ἀνηκέστους δὲ τὰς δυστυχίας. ἦν γὰρ
brought invidious incurable and the misfortunes which for
ἐκ προσηκόντων αὐτὸς ἐκτήσατο δύναμιν ἐν τῇ πόλει,
from proper(-means) he acquired power in the city
ταύτῃ χρώμενος ὑπὲρ ἄλλων οὐ δικαίως, ὅσον ἐκείνοις
this using on-behalf-of others not justly as-much to-them
ἰσχύος προσετίθει τῆς ἑαυτοῦ δόξης ἀφαιρῶν, ἔλαθε
of-strength he-added from-the his-own reputation taking-away he-was-unaware
ῥώμῃ καὶ μεγέθει τῆς αὐτοῦ δυνάμεως καταλυθείς.
by-the-strength and magnitude of-the his-own power being-destroyed
καὶ καθάπερ τὰ καρτερώτατα μέρη καὶ χωρία τῶν
and just-as the strongest parts and places of-the
πόλεων, ὅταν δέξηται πολεμίους, ἐκείνοις προστίθησι τὴν
cities whenever they-receive enemies to-them add the
αὐτῶν ἰσχύν, οὕτως διὰ τῆς Πομπηΐου δυνάμεως Καῖσαρ
their strength so through the of-Pompey power Caesar

ἐξαρθεὶς ἐπὶ τὴν πόλιν, ᾧ κατὰ τῶν ἄλλων
having-been-raised against the city by-which over the others
ἴσχυσε, τοῦτον ἀνέτρεψε καὶ κατέβαλεν. ἐπράχθη δὲ οὕτως.
prevailed this-man he-overturned and cast-down it-was-done and thus
Λεύκολλον, ὡς ἐπανῆλθεν ἐξ Ἀσίας ὑπὸ Πομπηΐου
Lucullus when he-returned from Asia by Pompey
περιϋβρισμένος, αὐτίκα τε λαμπρῶς ἡ σύγκλητος ἐδέξατο,
outrageously-treated at-once both splendidly the senate received(-him)
καὶ μᾶλλον ἔτι Πομπηΐου παραγενομένου κολούουσα τὴν
and more still Pompey having-arrived docking the
δόξαν ἤγειρεν ἐπὶ τὴν πολιτείαν. ὁ δὲ τἆλλα μὲν
reputation roused(-him) to the political-life he but in-other-things indeed
ἀμβλὺς ἦν ἤδη καὶ κατέψυκτο τὸ πρακτικόν, ἡδονῇ
dull was already and had-grown-cold the energy to-pleasure
σχολῆς καὶ ταῖς περὶ τὸν πλοῦτον διατριβαῖς ἑαυτὸν
of-leisure and to-the about the wealth occupations himself
ἐνδεδωκώς, ἐπὶ δὲ Πομπήϊον εὐθὺς ἀΐξας καὶ λαβόμενος
having-given-over at but Pompey at-once having-darted and having-laid-hold-of
ἐντόνως αὐτοῦ περί τε τῶν διατάξεων ἃς ἔλυσεν ἐκράτει,
vigorously him about both the ordinances which he-annulled prevailed
καὶ πλέον εἶχεν ἐν τῇ βουλῇ συναγωνιζομένου Κάτωνος.
and the-better had in the senate supporting(-him) Cato
ἐκπίπτων δὲ καὶ περιωθούμενος ὁ Πομπήϊος ἠναγκάζετο
being-driven-out and and pushed-aside — Pompey was-compelled
δημαρχοῦσι προσφεύγειν καὶ προσαρτᾶσθαι μειρακίοις· ὧν
to-tribunes to-flee and to-attach-himself to-youths of-whom
ὁ βδελυρώτατος καὶ θρασύτατος Κλώδιος ἀναλαβὼν αὐτὸν
the most-loathsome and most-audacious Clodius having-taken-up him
ὑπέρριψε τῷ δήμῳ, καὶ παρ᾽ ἀξίαν κυλινδούμενον
threw(-him)-down to-the people and contrary-to his-dignity rolling-about
ἐν ἀγορᾷ ἔχων καὶ περιφέρων ἐχρῆτο τῶν πρὸς χάριν
in forum having and carrying-around he-used(-him) of-the for favor

ὄχλου καὶ κολακείαν γραφομένων καὶ λεγομένων βεβαιωτῆ,
of-the-mob and flattery proposed and said as-a-confirmer
καὶ προσέτι μισθὸν ᾔτει, ὥσπερ οὐ καταισχύνων, ἀλλὰ
and besides a-wage asked as-if not disgracing but
εὐεργετῶν, ὃν ὕστερον ἔλαβε παρὰ Πομπηΐου, προέσθαι
benefiting which later he-received from Pompey to-abandon
Κικέρωνα, φίλον ὄντα καὶ πλεῖστα δὴ πεπολιτευμένον
Cicero friend being and very-many indeed having-done-politically
ὑπὲρ αὐτοῦ. κινδυνεύοντι γὰρ αὐτῷ καὶ δεομένῳ βοηθείας
for him being-in-danger for him and begging help
οὐδὲ εἰς ὄψιν προῆλθεν, ἀλλὰ τοῖς ἥκουσιν ἀποκλείσας
not-even into sight he-came but to-those having-come having-shut
τὴν αὔλειον ἑτέραις θύραις ᾤχετο ἀπιών. Κικέρων δὲ
the front-door by-other doors went departing Cicero and
φοβηθεὶς τὴν κρίσιν ὑπεξῆλθε τῆς Ῥώμης.
having-feared the trial slipped-out-of — Rome

47 Τότε δὲ Καῖσαρ ἐλθὼν ἀπὸ στρατείας ἥψατο πολιτεύματος
then and Caesar having-come from campaign undertook a-political-measure
ὃ πλείστην μὲν αὐτῷ χάριν ἐν τῷ παρόντι καὶ δύναμιν
which greatest indeed for-him favor in the present and power
εἰσαῦθις ἤνεγκε, μέγιστα δὲ Πομπήϊον ἔβλαψε καὶ τὴν πόλιν.
thereafter brought greatest but Pompey harmed and the city
ὑπατείαν μὲν γὰρ μετῄει πρώτην· ὁρῶν δὲ ὅτι Κράσσου
consulship indeed for he-was-seeking first seeing and that Crassus
πρὸς Πομπήϊον διαφερομένου θατέρῳ προσθέμενος ἐχθρῷ
with Pompey being-at-odds the-one having-joined as-an-enemy
χρήσεται τῷ ἑτέρῳ, τρέπεται πρὸς διαλλαγὰς ἀμφοῖν,
he-will-have the other he-turns to reconciliation of-both
πρᾶγμα καλὸν μὲν ἄλλως καὶ πολιτικόν, αἰτίᾳ δὲ
a-thing good indeed otherwise and statesmanlike for-a-reason but
φαύλῃ καὶ μετὰ δεινότητος ὑπ᾽ ἐκείνου συντεθὲν ἐπιβούλως.
base and with cleverness by him put-together treacherously

ἡ γὰρ ὥσπερ ἐν σκάφει τὰς ἀποκλίσεις ἐπανισοῦσα τῆς
the for as in a-boat the listings evening-out of-the
πόλεως ἰσχὺς εἰς ἓν συνελθοῦσα καὶ γενομένη μία τὴν
city strength into one having-come-together and having-become one the
πάντα πράγματα καταστασιάσασαν καὶ καταβαλοῦσαν
all affairs having-overturned and having-thrown-down
ἀνανταγώνιστον ῥοπὴν ἐποίησεν. ὁ γοῦν Κάτων τοὺς
irresistible weight made — at-any-rate Cato those
λέγοντας ὑπὸ τῆς ὕστερον γενομένης πρὸς Καίσαρα
saying by the later having-arisen with Caesar
Πομπηΐῳ διαφορᾶς ἀνατραπῆναι τὴν πόλιν ἁμαρτάνειν
for-Pompey difference to-have-been-overthrown the city to-err
ἔλεγεν αἰτιωμένους τὸ τελευταῖον· οὐ γὰρ τὴν στάσιν οὐδὲ
said blaming the last(-thing) not for the faction nor
τὴν ἔχθραν, ἀλλὰ τὴν σύστασιν καὶ τὴν ὁμόνοιαν αὐτῶν
the enmity but the alliance and the concord of-them
τῇ πόλει κακὸν πρῶτον γενέσθαι καὶ μέγιστον. ᾑρέθη
for-the city evil first to-have-been and greatest was-elected
μὲν γὰρ ὕπατος Καῖσαρ· εὐθὺς δὲ θεραπεύων τὸν ἄπορον
indeed for consul Caesar at-once and courting the needy
καὶ πένητα κατοικίας πόλεων καὶ νομὰς ἀγρῶν ἔγραφεν,
and poor settlements of-cities and distributions of-fields he-proposed
ἐκβαίνων τὸ τῆς ἀρχῆς ἀξίωμα καὶ τρόπον τινὰ δημαρχίαν
going-beyond the of-the office dignity and in-a-way some a-tribunate
τὴν ὑπατείαν καθιστάς. ἐναντιουμένου δὲ τοῦ συνάρχοντος
the consulship making opposing and the colleague
αὐτῷ Βύβλου, καὶ Κάτωνος ἐρρωμενέστατα τῷ Βύβλῳ
him Bibulus and Cato most-vigorously — Bibulus
παρεσκευασμένου βοηθεῖν, προαγαγὼν ὁ Καῖσαρ ἐπὶ τοῦ
prepared to-help having-brought-forward — Caesar on the
βήματος Πομπήϊον ἐμφανῆ καὶ προσαγορεύσας ἠρώτησεν
tribunal Pompey in-view and having-addressed(-him) asked

εἰ τοὺς νόμους ἐπαινοίη· τοῦ δὲ συμφήσαντος, "Οὐκοῦν,"
if the laws he-approved he and having-agreed then
εἶπεν, "ἄν τις τοὺς νόμους βιάζηται, εἰς τὸν δῆμον
he-said if anyone the laws should-force to the people
ἀφίξῃ βοηθῶν;" "Πάνυ μὲν οὖν," ἔφη ὁ Πομπήϊος,
will-you-come helping very indeed then said — Pompey
"ἀφίξομαι, πρὸς τοὺς ἀπειλοῦντας τὰ ξίφη μετὰ ξίφους
I-will-come against those threatening the swords with sword
καὶ θυρεὸν κομίζων." τούτου Πομπήϊος οὐδὲν οὔτε εἰπεῖν
and shield bringing than-this Pompey nothing either to-say
οὔτε ποιῆσαι μέχρι τῆς ἡμέρας ἐκείνης φορτικώτερον
or to-do until the day that more-vulgar
ἔδοξεν, ὥστε καὶ τοὺς φίλους ἀπολογεῖσθαι φάσκοντας
seemed so-that even the friends to-apologize alleging
ἐκφυγεῖν αὐτὸν ἐπὶ καιροῦ τὸ ῥῆμα. τοῖς μέντοι μετὰ
to-have-escaped him at the-moment the word by-the however after
ταῦτα πραττομένοις φανερὸς ἦν ἤδη παντάπασιν
these-things done clear he-was already altogether
ἑαυτὸν τῷ Καίσαρι χρήσασθαι παραδεδωκώς. Ἰουλίαν
himself — to-Caesar to-use having-banded-over Julia
γὰρ τὴν Καίσαρος θυγατέρα, Καιπίωνι καθωμολογημένην
for the of-Caesar daughter to-Caepio betrothed
καὶ γαμεῖσθαι μέλλουσαν ὀλίγων ἡμερῶν, οὐδενὸς ἂν
and to-be-married about-to in-few days nobody —
προσδοκήσαντος ἔγημε Πομπήϊος, μείλιγμα Καιπίωνι τῆς
having-expected married Pompey as-a-soothing for-Caepio of-the
ὀργῆς τὴν ἑαυτοῦ θυγατέρα καταινέσας, Φαύστῳ τῷ παιδὶ
anger the his-own daughter having-promised to-Faustus the son
Σύλλα πρότερον ἐγγεγυημένην. αὐτὸς δὲ Καῖσαρ ἔγημε
of-Sulla formerly betrothed himself and Caesar married
Καλπουρνίαν τὴν Πείσωνος.
Calpurnia the of-Piso

With soldiers filling the city Pompey and Caesar pass their laws, dousing Bibulus with dung. Pompey, devoted to Julia, neglects the forum, and Clodius mocks him with chants. Pompey recalls Cicero, receives the grain supply, and sails in a storm with the cry that to sail is necessary, to live is not. Caesar, enriched by Gaul, gathers two hundred senators at Luca, where Pompey and Crassus agree to seek the consulship together.

Ἐκ δὲ τούτου Πομπήϊος ἐμπλήσας στρατιωτῶν τὴν 48
from and this Pompey having-filled with-soldiers the
πόλιν ἅπαντα τὰ πράγματα βίᾳ κατεῖχε. Βύβλῳ τε
city all the affairs by-force controlled to-Bibulus both
γὰρ εἰς ἀγορὰν τῷ ὑπάτῳ κατιόντι μετὰ Λευκόλλου καὶ
for into forum the consul going-down with Lucullus and
Κάτωνος ἄφνω προσπεσόντες κατέκλασαν τὰς ῥάβδους,
Cato suddenly having-fallen-upon(-him) they-broke the fasces
αὐτοῦ δέ τις κοπρίων κόφινον ἐκ κεφαλῆς τοῦ Βύβλου
there and someone of-dung a-basket over head — of-Bibulus
κατεσκέδασε, δύο δὲ δήμαρχοι τῶν συμπροπεμπόντων
poured two and tribunes of-those escorting(-him)
ἐτρώθησαν. οὕτω δὲ τῶν ἐνισταμένων τὴν ἀγορὰν
were-wounded thus and of-those opposing the forum
ἐρημώσαντες ἐπεκύρωσαν τὸν περὶ τῆς διανομῆς τῶν
having-emptied they-ratified the about the distribution of-the
χωρίων νόμον· ᾧ δελεασθεὶς ὁ δῆμος εἰς πᾶσαν
lands law by-which having-been-baited the people for every
ἤδη τιθασὸς αὐτοῖς ἐγεγόνει καὶ κατάντης πρᾶξιν, οὐδὲν
already tame to-them had-become and pliant action nothing
πολυπραγμονῶν, ἀλλ' ἐπιφέρων σιωπῇ τοῖς γραφομένοις
meddling but bringing in-silence to-the proposals
τὴν ψῆφον. ἐκυρώθησαν οὖν Πομπηΐῳ μὲν αἱ διατάξεις
the vote were-ratified then for-Pompey indeed the ordinances

ὑπὲρ ὧν Λεύκολλος ἤριζε, Καίσαρι δὲ τὴν ἐντὸς Ἄλπεων
over which Lucullus contended for-Caesar and the within Alps
καὶ τὴν ἐκτὸς ἔχειν Γαλατίαν καὶ Ἰλλυριοὺς εἰς πενταετίαν
and the outside to-have Gaul and Illyrians for a-five-year-period
καὶ τέσσαρα τάγματα τέλεια στρατιωτῶν, ὑπάτους δὲ
and four legions complete of-soldiers consuls and
εἰς τὸ μέλλον εἶναι Πείσωνα τὸν Καίσαρος πενθερὸν καὶ
for the future to-be Piso the of-Caesar father-in-law and
Γαβίνιον, ἄνδρα τῶν Πομπηΐου κολάκων ὑπερφυέστατον.
Gabinius a-man of-the of-Pompey flatterers most-extravagant
Πραττομένων δὲ τούτων Βύβλος μὲν εἰς τὴν οἰκίαν
being-done and these-things Bibulus indeed into the house
κατακλεισάμενος ὀκτὼ μηνῶν οὐ προῆλθεν ὑπατεύων, ἀλλ᾽
having-shut-himself-up eight months not came-forth being-consul but
ἐξέπεμπε διαγράμματα βλασφημίας ἀμφοῖν ἔχοντα καὶ
sent-out edicts abuse of-both containing and
κατηγορίας, Κάτων δὲ ὥσπερ ἐπίπνους καὶ φοιβόληπτος
accusations Cato and as-if inspired and frenzied
ἐν τῇ βουλῇ τὰ μέλλοντα τῇ πόλει καὶ τῷ
in the senate the(-things) to-come for-the city and —
Πομπηΐῳ προηγόρευε, Λεύκολλος δὲ ἀπειπὼν ἡσυχίαν
for-Pompey foretold Lucullus and having-given-up quiet
ἦγεν ὡς οὐκέτι πρὸς πολιτείαν ὡραῖος· ὅτε δὴ καὶ
kept as no-longer for political-life of-the-right-age when indeed also
Πομπήϊος ἔφη, γέροντι τὸ τρυφᾶν ἀωρότερον εἶναι
Pompey said for-an-old-man the to-live-luxuriously more-unseasonable to-be
τοῦ πολιτεύεσθαι. ταχὺ μέντοι καὶ αὐτὸς ἐμαλάσσετο
than to-engage-in-politics quickly however also he was-softened
τῷ τῆς κόρης ἔρωτι καὶ προσεῖχεν ἐκείνῃ τὰ πολλὰ
by-the of-the girl love and devoted-himself to-her the most
καὶ συνδιημέρευεν ἐν ἀγροῖς καὶ κήποις, ἠμέλει δὲ
and spent-the-days-with(-her) in fields and gardens neglected and

τῶν κατ᾽ ἀγορὰν πραττομένων, ὥστε καὶ Κλώδιον αὐτοῦ
the in forum being-done so-that even Clodius him
καταφρονῆσαι δημαρχοῦντα τότε καὶ θρασυτάτων ἅψασθαι
to-despise being-tribune then and most-audacious to-undertake
πραγμάτων. ἐπεὶ γὰρ ἐξέβαλε Κικέρωνα, καὶ Κάτωνα
affairs when for he-had-banished Cicero and Cato
προφάσει στρατηγίας εἰς Κύπρον ἀπέπεμψε, Καίσαρος εἰς
on-pretext of-a-command to Cyprus had-sent-off Caesar to
Γαλατίαν ἐξεληλακότος, αὐτῷ δὲ προσέχοντα τὸν δῆμον
Gaul having-marched-out to-himself and devoted the people
ἑώρα πάντα πράττοντι καὶ πολιτευομένῳ πρὸς χάριν, εὐθὺς
he-saw in-all doing and governing for favor at-once
ἐπεχείρει τῶν Πομπηΐου διατάξεων ἐνίας ἀναιρεῖν, καὶ
he-tried of-the of-Pompey ordinances some to-annul and
Τιγράνην τὸν αἰχμάλωτον ἁφαρπάσας εἶχε σὺν αὐτῷ, καὶ
Tigranes the captive having-snatched-away kept with himself and
τοῖς φίλοις δίκας ἐπῆγε, πεῖραν ἐν ἐκείνοις τῆς Πομπηΐου
against-the friends lawsuits he-brought trial in them of-the of-Pompey
λαμβάνων δυνάμεως. τέλος δέ, προελθόντος αὐτοῦ πρός
taking power finally and having-come-forward him to
τινα δίκην, ἔχων ὑφ᾽ αὐτῷ πλῆθος ἀνθρώπων ἀσελγείας
some trial having under himself a-multitude of-men of-insolence
καὶ ὀλιγωρίας μεστὸν αὐτὸς μὲν εἰς ἐπιφανῆ τόπον
and contempt full he indeed into conspicuous place
καταστὰς ἐρωτήματα τοιαῦτα προὔβαλλε· "Τίς ἐστιν
having-stationed-himself questions such put-forward who is
αὐτοκράτωρ ἀκόλαστος; τίς ἀνὴρ ἄνδρα ζητεῖ; τίς ἑνὶ
an-imperator licentious who man a-man seeks who with-one
δακτύλῳ κνᾶται τὴν κεφαλήν;" οἱ δέ, ὥσπερ χορὸς εἰς
finger scratches the head they and like a-chorus for

ἀμοιβαῖα συγκεκροτημένος, ἐκείνου τὴν τήβεννον ἀνασείοντος
responses trained he the toga shaking
ἐφ' ἑκάστῳ μέγα βοῶντες ἀπεκρίναντο· "Πομπήϊος."
at each loudly shouting answered Pompey
49 Ἠνία μὲν οὖν καὶ ταῦτα Πομπήϊον ἀήθη τοῦ κακῶς
annoyed indeed then also these-things Pompey unaccustomed to-the ill
ἀκούειν ὄντα καὶ μάχης τοιαύτης ἄπειρον· ἤχθετο δὲ
to-hear being and of-battle such inexperienced he-was-vexed but
μᾶλλον αἰσθανόμενος τὴν βουλὴν ἐπιχαίρουσαν αὐτῷ
more perceiving the senate rejoicing at-him
προπηλακιζομένῳ καὶ διδόντι δίκην τῆς Κικέρωνος
being-insulted and paying penalty for-the of-Cicero
προδοσίας. ἐπεὶ δὲ καὶ πληγὰς ἐν ἀγορᾷ μέχρι
betrayal when and also blows in forum to-the-point-of
τραυμάτων συνέβη γενέσθαι, καὶ Κλωδίου τις οἰκέτης
wounds happened to-occur and of-Clodius a servant
παραδυόμενος ἐν ὄχλῳ διὰ τῶν περιεστώτων πρὸς τὸν
slipping in crowd through those standing-around toward —
Πομπήϊον ἠλέγχθη ξίφος ἔχειν, ταῦτα ποιούμενος πρόφασιν,
Pompey was-convicted a-sword to-have these-things making a-pretext
ἄλλως δὲ τοῦ Κλωδίου τὴν ἀσέλγειαν καὶ τὰς βλασφημίας
otherwise but — of-Clodius the insolence and the abuse
δεδιώς, οὐκέτι προῆλθεν εἰς ἀγορὰν ὅσον ἐκεῖνος ἦρχε
fearing no-longer he-came into forum as-long-as he held(-office)
χρόνον, ἀλλ' οἰκουρῶν διετέλει καὶ σκεπτόμενος μετὰ τῶν
time but staying-home he-continued and considering with the
φίλων ὅπως ἂν ἐξακέσαιτο τῆς βουλῆς καὶ τῶν ἀρίστων τὴν
friends how — he-might-heal of-the senate and of-the best-men the
πρὸς αὐτὸν ὀργήν. Κουλλέωνι μὲν οὖν κελεύοντι τὴν Ἰουλίαν
toward him anger to-Culleo indeed then bidding — Julia
ἀφεῖναι καὶ μεταβαλέσθαι πρὸς τὴν σύγκλητον ἀπὸ τῆς
to-divorce and to-change-over to the senate from the

Καίσαρος φιλίας οὐ προσέσχε, τοῖς δὲ Κικέρωνα καταγαγεῖν
of-Caesar friendship not he-heeded those but Cicero to-bring-back
ἀξιοῦσιν, ἄνδρα καὶ Κλωδίῳ πολεμιώτατον καὶ τῇ βουλῇ
urging a-man both to-Clodius most-hostile and to-the senate
προσφιλέστατον, ἐπείσθη· καὶ προαγαγὼν τὸν ἀδελφὸν
most-dear he-was-persuaded and having-brought-forward the brother
αὐτοῦ δεόμενον σὺν χειρὶ πολλῇ, τραυμάτων ἐν ἀγορᾷ
his entreating with band great wounds in forum
γενομένων καί τινων ἀναιρεθέντων, ἐκράτησε τοῦ Κλωδίου.
having-occurred and some having-been-killed he-overcame — Clodius
καὶ νόμῳ κατελθὼν ὁ Κικέρων τήν τε βουλὴν εὐθὺς
and by-law having-returned — Cicero the both senate at-once
τῷ Πομπηΐῳ διήλλαττε, καὶ τῷ σιτικῷ νόμῳ συνηγορῶν
— to-Pompey reconciled and the grain law supporting
τρόπῳ τινὶ πάλιν γῆς καὶ θαλάττης, ὅσην ἐκέκτηντο
in-a-way some again of-land and of-sea as-much-as possessed
Ῥωμαῖοι, κύριον ἐποίει Πομπήϊον. ἐπ᾽ αὐτῷ γὰρ ἐγίνοντο
Romans master made Pompey under him for came
λιμένες, ἐμπόρια, καρπῶν διαθέσεις, ἑνὶ λόγῳ, τὰ τῶν
harbors trading-posts of-crops sales in-one word the of-those
πλεόντων πράγματα, τὰ τῶν γεωργούντων. Κλώδιος
sailing affairs the(-affairs) of-those farming Clodius
δὲ ᾐτιᾶτο μὴ γεγράφθαι τὸν νόμον διὰ τὴν σιτοδείαν,
but charged not to-have-been-proposed the law because-of the grain-shortage
ἀλλ᾽ ὅπως ὁ νόμος γραφείη γεγονέναι τὴν σιτοδείαν,
but so-that the law might-be-proposed to-have-occurred the grain-shortage
ὥσπερ ἐκ λιποθυμίας αὐτοῦ μαραινομένην τὴν δύναμιν
as-if from a-fainting-fit he withering the power
ἀρχῇ νέᾳ πάλιν ἀναζωπυροῦντος καὶ ἀναλαμβάνοντος.
by-an-office new again rekindling and restoring
ἕτεροι δὲ τοῦ ὑπάτου Σπινθῆρος ἀποφαίνουσι τοῦτο
others but of-the consul Spinther declare this

σόφισμα, κατακλείσαντος εἰς ἀρχὴν μείζονα Πομπήϊον,
a-device having-shut-up into an-office greater Pompey
ὅπως αὐτὸς ἐκπεμφθῇ Πτολεμαίῳ τῷ βασιλεῖ βοηθῶν. οὐ
so-that he might-be-sent to-Ptolemy the king helping not
μὴν ἀλλὰ καὶ Κανίδιος εἰσήνεγκε δημαρχῶν νόμον, ἄνευ
indeed but also Canidius brought-in being-tribune a-law without
στρατιᾶς Πομπήϊον ἔχοντα ῥαβδούχους δύο διαλλάττειν
army Pompey having lictors two to-reconcile
Ἀλεξανδρεῦσι τὸν βασιλέα. καὶ Πομπήϊος μὲν ἐδόκει
with-Alexandrians the king and Pompey indeed seemed
τῷ νόμῳ μὴ δυσχεραίνειν, ἡ δὲ σύγκλητος ἐξέβαλεν,
at-the law not to-be-displeased the but senate threw(-it)-out
εὐπρεπῶς σκηψαμένη δεδιέναι περὶ τἀνδρός. ἦν δὲ
speciously having-pretended to-fear for the-man it-was-possible and
γράμμασιν ἐντυχεῖν διερριμμένοις κατ' ἀγορὰν καὶ παρὰ τὸ
on-writings to-come scattered over forum and by the
βουλευτήριον ὡς δὴ Πτολεμαίου δεομένου Πομπήϊον αὐτῷ
senate-house as indeed Ptolemy asking Pompey to-him
στρατηγὸν ἀντὶ τοῦ Σπινθῆρος δοθῆναι. Τιμαγένης δὲ
as-general instead-of — Spinther to-be-given Timagenes and
καὶ ἄλλως τὸν Πτολεμαῖον οὐκ οὔσης ἀνάγκης ἀπελθεῖν
also otherwise — Ptolemy not being necessity to-have-gone-away
φησι, καὶ καταλιπεῖν Αἴγυπτον ὑπὸ Θεοφάνους πεισθέντα
says and to-have-left Egypt by Theophanes persuaded
πράττοντος Πομπηΐῳ χρηματισμοὺς καὶ στρατηγίας καινῆς
contriving for-Pompey money-making and of-command new
ὑπόθεσιν. ἀλλὰ τοῦτο μὲν οὐχ οὕτως ἡ Θεοφάνους
occasion but this indeed not so the of-Theophanes
μοχθηρία πιθανὸν ὡς ἄπιστον ἡ Πομπηΐου ποιεῖ φύσις,
knavery plausible as incredible the of-Pompey makes nature
οὐκ ἔχουσα κακόηθες οὐδ' ἀνελεύθερον οὕτω τὸ φιλότιμον.
not having malignant nor illiberal so the ambition

Ἐπισταθεὶς δὲ τῇ περὶ τὸ σιτικὸν οἰκονομίᾳ καὶ 50
having-been-put-in-charge and of-the about the grain management and
πραγματείᾳ, πολλαχοῦ μὲν ἀπέστειλε πρεσβευτὰς καὶ
business to-many-places indeed he-sent legates and
φίλους, αὐτὸς δὲ πλεύσας εἰς Σικελίαν καὶ Σαρδόνα καὶ
friends he and having-sailed to Sicily and Sardinia and
Λιβύην ἤθροιζε σῖτον. ἀνάγεσθαι δὲ μέλλων πνεύματος
Libya gathered grain to-put-to-sea and about a-wind
μεγάλου κατὰ θάλατταν ὄντος καὶ τῶν κυβερνητῶν
great over sea being and the pilots
ὀκνούντων, πρῶτος ἐμβὰς καὶ κελεύσας τὴν ἄγκυραν
hesitating first having-embarked and having-ordered the anchor
αἴρειν ἀνεβόησε· "Πλεῖν ἀνάγκη, ζῆν οὐκ ἀνάγκη."
to-weigh he-cried-out to-sail is-necessary to-live not necessary
τοιαύτῃ δὲ τόλμῃ καὶ προθυμίᾳ χρώμενος μετὰ τύχης
such and daring and zeal using with fortune
ἀγαθῆς ἐνέπλησε σίτου τὰ ἐμπόρια καὶ πλοίων τὴν
good he-filled with-grain the markets and with-ships the
θάλασσαν, ὥστε καὶ τοῖς ἐκτὸς ἀνθρώποις ἐπαρκέσαι τὴν
sea so-that even to-the outside men to-suffice the
περιουσίαν ἐκείνης τῆς παρασκευῆς, καὶ γενέσθαι καθάπερ
surplus of-that the provision and to-be as-if
ἐκ πηγῆς ἄφθονον ἀπορροὴν εἰς πάντας.
from a-spring abundant outflow to all
Ἐν τούτῳ δὲ τῷ χρόνῳ μέγαν ἦραν οἱ Κελτικοὶ πόλεμοι 51
in this and the time great raised the Gallic wars
Καίσαρα· καὶ δοκῶν πορρωτάτω τῆς Ῥώμης ἀπεῖναι
Caesar and seeming farthest — from-Rome to-be-away
καὶ συνηρτῆσθαι Βέλγαις καὶ Σουήβοις καὶ Βρεττανοῖς,
and to-be-occupied with-Belgae and Suebi and Britons
ἐλάνθανεν ὑπὸ δεινότητος ἐν μέσῳ τῷ δήμῳ καὶ τοῖς
he-escaped-notice through cleverness in midst the people and the

κυριωτάτοις πράγμασι καταπολιτευόμενος τὸν Πομπήϊον.
most-important affairs out-maneuvering — Pompey
αὐτὸς μὲν γὰρ ὡς σῶμα τὴν στρατιωτικὴν δύναμιν
he indeed for like a-body the military force
περικείμενος, οὐκ ἐπὶ τοὺς βαρβάρους, ἀλλ' ὥσπερ
wearing not against the barbarians but as
ἐν θήραις καὶ κυνηγεσίοις τοῖς πρὸς ἐκείνους ἀγῶσι
in hunts and chases in-the against them struggles
γυμνάζων, διεπόνει, καὶ κατεσκεύαζεν ἄμαχον καὶ φοβεράν,
exercising worked(-it) and made(-it) invincible and formidable
χρυσὸν δὲ καὶ ἄργυρον καὶ τἆλλα λάφυρα καὶ τὸν ἄλλον
gold and and silver and the-other spoils and the other
πλοῦτον τὸν ἐκ πολέμων τοσούτων περιγινόμενον εἰς τὴν
wealth the from wars so-many accruing to —
Ῥώμην ἀποστέλλων, καὶ διαπειρῶν ταῖς δωροδοκίαις καὶ
Rome sending and tempting with-the bribes and
συγχορηγῶν ἀγορανόμοις καὶ στρατηγοῖς καὶ ὑπάτοις καὶ
sharing-expenses with-aediles and praetors and consuls and
γυναιξὶν αὐτῶν, ᾠκειοῦτο πολλούς· ὥστε ὑπερβαλόντος
wives their he-won-over many so-that having-crossed
αὐτοῦ τὰς Ἄλπεις καὶ διαχειμάζοντος ἐν Λούκῃ, τῶν μὲν
him the Alps and wintering in Luca of-the indeed
ἄλλων ἀνδρῶν καὶ γυναικῶν ἁμιλλωμένων καὶ φερομένων
other men and women vying and rushing
πολὺ πλῆθος γενέσθαι, συγκλητικοὺς δὲ διακοσίους, ἐν
great multitude to-have-come senators and two-hundred among
οἷς καὶ Πομπήϊος ἦν καὶ Κράσσος, ἀνθυπάτων δὲ καὶ
whom both Pompey was and Crassus of-proconsuls and and
στρατηγῶν ἑκατὸν εἴκοσι ῥάβδους ἐπὶ ταῖς Καίσαρος
praetors hundred twenty fasces at the of-Caesar
θύραις ὀφθῆναι. τοὺς μὲν οὖν ἄλλους ἅπαντας ἐμπλήσας
doors to-have-been-seen the indeed then others all having-filled

ἐλπίδων καὶ χρημάτων ἀπέστελλε, Κράσσῳ δὲ καὶ Πομπηΐῳ
with-hopes and money he-sent-away to-Crassus and and to-Pompey
πρὸς αὐτὸν ἐγένοντο συνθῆκαι, μετιέναι μὲν ὑπατείας
with him were-made agreements to-seek indeed consulships
ἐκείνους καὶ Καίσαρα συλλαμβάνειν αὐτοῖς, πέμποντα τῶν
them and Caesar to-help them sending of-the
στρατιωτῶν συχνοὺς ἐπὶ τὴν ψῆφον, ἐπὰν δὲ αἱρεθῶσι
soldiers many for the vote when and they-are-chosen
τάχιστα, πράττειν μὲν ἑαυτοῖς ἐπαρχιῶν καὶ στρατοπέδων
as-soon-as to-secure indeed for-themselves of-provinces and armies
ἡγεμονίας, Καίσαρι δὲ τὰς οὔσας βεβαιοῦν εἰς ἄλλην
commands for-Caesar and the existing(-ones) to-confirm for another
πενταετίαν. ἐπὶ τούτοις ἐξενεχθεῖσιν εἰς τοὺς πολλοὺς
five-year-period at these-things divulged to the many
χαλεπῶς ἔφερον οἱ πρῶτοι· καὶ Μαρκελλῖνος ἐν τῷ δήμῳ
hard took(-it) the first-men and Marcellinus in the people
καταστὰς ἀμφοῖν ἐναντίον ἠρώτησεν εἰ μετίασιν ὑπατείαν.
having-stood-up both opposite asked if they-are-seeking the-consulship
καὶ τῶν πολλῶν ἀποκρίνασθαι κελευόντων, πρῶτος
and the many to-answer bidding first
Πομπήϊος εἶπεν ὡς τάχα μὲν ἂν μετέλθοι, τάχα δὲ οὐκ
Pompey said that perhaps indeed — he-might-seek(-it) perhaps but not
ἂν μετέλθοι· Κράσσος δὲ πολιτικώτερον· οὕτω γὰρ ἔφη
— he-might-seek(-it) Crassus but more-politically thus for he-said
πράξειν ὁποτέρως ἂν οἴηται τῷ κοινῷ συνοίσειν.
he-would-act whichever-way — he-thinks for-the common(-good) it-will-be-advantageous
ἐπιφυομένου δὲ Πομπηΐῳ Μαρκελλίνου καὶ σφοδρῶς λέγειν
fastening-on and Pompey Marcellinus and violently to-speak
δοκοῦντος, ὁ Πομπήϊος ἔφη πάντων ἀδικώτατον εἶναι τὸν
seeming — Pompey said of-all most-unjust to-be —

Μαρκελλῖνον, ὃς χάριν οὐκ ἔχει λόγιος μὲν ἐξ ἀφώνου
Marcellinus who gratitude not has eloquent indeed from voiceless
δι᾽ αὐτόν, ἐμετικὸς δὲ ἐκ πεινατικοῦ γενόμενος.
through him vomiting and from starving having-become

XII · JULIA, CRASSUS, AND THE SOLE CONSULSHIP

Domitius' torchbearer is killed and Cato wounded as Pompey and Crassus take the consulship by force. Pompey opens his theater with games and an elephant fight. Julia miscarries at the sight of his bloodied toga and later dies in childbirth; Crassus dies in Parthia, removing the last check between the rivals. Amid anarchy Bibulus and Cato make Pompey sole consul; he marries Cornelia and is criticized for shielding his father-in-law Scipio.

52 Οὐ μὴν ἀλλὰ τῶν ἄλλων ἀποστάντων τοῦ παραγγέλλειν
not indeed but the others having-withdrawn from-the canvassing-for
ὑπατείαν, Λεύκιον Δομέτιον Κάτων ἔπεισε καὶ παρεθάρρυνε
consulship Lucius Domitius Cato persuaded and encouraged
μὴ ἀπειπεῖν· οὐ γὰρ ὑπὲρ ἀρχῆς, ἀλλ᾽ ὑπὲρ ἐλευθερίας
not to-give-up not for for office but for freedom
εἶναι τὸν ἀγῶνα πρὸς τοὺς τυράννους. οἱ δὲ περὶ
to-be the struggle against the tyrants those and around
τὸν Πομπήϊον φοβηθέντες τὸν τόνον τοῦ Κάτωνος, μὴ
— Pompey having-feared the vigor — of-Cato lest
τὴν βουλὴν ἔχων ἅπασαν ἀποσπάσῃ καὶ μεταβάλῃ τοῦ
the senate having all he-tear-away and change of-the
δήμου τὸ ὑγιαῖνον, οὐκ εἴασαν εἰς ἀγορὰν κατελθεῖν τὸν
people the sound(-part) not allowed into forum to-come-down —
Δομέτιον, ἀλλ᾽ ἐπιπέμψαντες ἐνόπλους ἄνδρας ἀπέκτειναν
Domitius but having-sent-against armed men they-killed
μὲν τὸν προηγούμενον λυχνοφόρον, ἐτρέψαντο δὲ τοὺς
indeed the leading torch-bearer routed and the

ἄλλους· ἔσχατος δὲ Κάτων ἀνεχώρησε, τρωθεὶς τὸν
others last and Cato withdrew wounded in-the
δεξιὸν πῆχυν ἀμυνόμενος πρὸ τοῦ Δομετίου.
right forearm defending before — Domitius
Τοιαύτῃ δὲ ὁδῷ παρελθόντες ἐπὶ τὴν ἀρχὴν οὐδὲ
such and by-a-road having-come to the office not-even
τἆλλα κοσμιώτερον ἔπραττον. ἀλλὰ πρῶτον μὲν τὸν
the-rest more-decently they-did but first indeed —
Κάτωνα τοῦ δήμου στρατηγὸν αἱρουμένου καὶ τὴν ψῆφον
Cato the people as-praetor choosing and the vote
ἐπιφέροντος, Πομπήϊος ἔλυσε τὴν ἐκκλησίαν οἰωνοὺς
casting Pompey dissolved the assembly omens
αἰτιώμενος, ἀντὶ δὲ Κάτωνος Βατίνιον ἀνηγόρευσαν,
alleging instead-of and Cato Vatinius they-proclaimed
ἀργυρίῳ τὰς φυλὰς διαφθείραντες. ἔπειτα νόμους διὰ
with-money the tribes having-corrupted then laws through
Τρεβωνίου δημαρχοῦντος εἰσέφερον, Καίσαρι μέν, ὥσπερ
Trebonius being-tribune they-introduced to-Caesar indeed as
ὡμολόγητο, δευτέραν ἐπιμετροῦντας πενταετίαν, Κράσσῳ
had-been-agreed a-second extending five-year-period to-Crassus
δὲ Συρίαν καὶ τὴν ἐπὶ Πάρθους στρατείαν διδόντας,
and Syria and the against Parthians expedition giving
αὐτῷ δὲ Πομπηΐῳ Λιβύην ἅπασαν καὶ Ἰβηρίαν ἑκατέραν
himself and to-Pompey Libya all and Iberia both
καὶ τέσσαρα τάγματα στρατιωτῶν, ὧν ἐπέχρησε δύο
and four legions of-soldiers of-which he-lent two
Καίσαρι δεηθέντι πρὸς τὸν ἐν Γαλατίᾳ πόλεμον. ἀλλὰ
to-Caesar having-asked for the in Gaul war but
Κράσσος μὲν ἐξῆλθεν εἰς τὴν ἐπαρχίαν ἀπαλλαγεὶς τῆς
Crassus indeed went-out to the province released from-the
ὑπατείας, Πομπήϊος δὲ τὸ θέατρον ἀναδείξας ἀγῶνας ἦγε
consulship Pompey and the theater having-dedicated contests held

γυμνικοὺς καὶ μουσικοὺς ἐπὶ τῇ καθιερώσει, καὶ θηρῶν
gymnastic and musical at the consecration and of-beasts
ἀμίλλας ἐν οἷς πεντακόσιοι λέοντες ἀνῃρέθησαν, ἐπὶ πᾶσι
contests in which five-hundred lions were-killed on all
δὲ τὴν ἐλεφαντομαχίαν, ἐκπληκτικώτατον θέαμα, παρέσχεν.
and the elephant-fight most-terrifying spectacle furnished
53 Ἐπὶ τούτοις δὲ θαυμαστωθεὶς καὶ ἀγαπηθείς, αὖθις
at these-things and admired and loved again
οὐκ ἐλάττονα φθόνον ἔσχεν, ὅτι πρεσβευταῖς φίλοις
not less envy he-incurred because to-legates friends
παραδοὺς τὰ στρατεύματα καὶ τὰς ἐπαρχίας, αὐτὸς
having-handed-over the armies and the provinces he
ἐν τοῖς περὶ τὴν Ἰταλίαν ἡβητηρίοις, μετιὼν ἄλλοτε
in the around — Italy pleasure-resorts going at-one-time
ἀλλαχόσε, μετὰ τῆς γυναικὸς διῆγεν, εἴτε ἐρῶν αὐτῆς,
to-another-place with the wife lived whether loving her
εἴτε ἐρῶσαν οὐχ ὑπομένων ἀπολιπεῖν· καὶ γὰρ καὶ τοῦτο
or loving(-him) not enduring to-leave(-her) and for also this
λέγεται. καὶ περιβόητον ἦν τῆς κόρης τὸ φίλανδρον, οὐ
is-said and notorious was of-the girl the love-for-her-husband not
καθ' ὥραν ποθούσης τὸν Πομπήϊον, ἀλλ' αἴτιον ἔοικεν ἥ
because-of prime longing-for — Pompey but cause seems the
τε σωφροσύνη τοῦ ἀνδρὸς εἶναι μόνην γινώσκοντος τὴν
both temperance of-the husband to-be only knowing the
γεγαμημένην, ἥ τε σεμνότης οὐκ ἄκρατον, ἀλλ' εὔχαριν
wedded(-wife) the and dignity not untempered but graceful
ἔχουσα τὴν ὁμιλίαν καὶ μάλιστα γυναικῶν ἀγωγόν, εἰ δεῖ
having the converse and most of-women attractive if must
μηδὲ Φλώραν ἁλῶναι τὴν ἑταίραν ψευδομαρτυριῶν. ἐν δ'
not-even Flora to-be-convicted the courtesan of-false-witness in and
οὖν ἀγορανομικοῖς ἀρχαιρεσίοις εἰς χεῖράς τινων ἐλθόντων
then aedilician elections to hands some having-come

καὶ φονευθέντων περὶ αὐτὸν οὐκ ὀλίγων ἀναπλησθεὶς
and having-been-killed around him not few having-been-spattered
αἵματος ἤλλαξε τὰ ἱμάτια. πολλοῦ δὲ θορύβου καὶ δρόμου
with-blood he-changed the garments much and tumult and running
πρὸς τὴν οἰκίαν γενομένου τῶν κομιζόντων τὰ ἱμάτια
to the house having-occurred of-the bringing the garments
θεραπόντων, ἔτυχε μὲν ἡ κόρη κύουσα, θεασαμένη δὲ
servants happened indeed the girl being-pregnant having-seen and
καθῃμαγμένην τὴν τήβεννον ἐξέλιπε καὶ μόλις ἀνήνεγκεν,
blood-stained the toga she-fainted and barely recovered
ἐκ δὲ τῆς ταραχῆς ἐκείνης καὶ τοῦ πάθους ἀπήμβλωσεν.
from and the confusion that and the shock she-miscarried
ὅθεν οὐδὲ οἱ μάλιστα μεμφόμενοι τὴν πρὸς Καίσαρα
whence not-even those most blaming the toward Caesar
Πομπηΐου φιλίαν ᾐτιῶντο τὸν ἔρωτα τῆς γυναικός. αὖθις
of-Pompey friendship blamed the love of-the wife again
μέντοι κυήσασα καὶ τεκοῦσα θῆλυ παιδίον ἐκ τῶν
however having-conceived and having-borne a-female child from the
ὠδίνων ἐτελεύτησε, καὶ τὸ παιδίον οὐ πολλὰς ἡμέρας
pangs she-died and the child not many days
ἐπέζησε. παρεσκευασμένου δὲ τοῦ Πομπηΐου τὸ σῶμα
survived having-prepared and — Pompey the body
θάπτειν ἐν Ἀλβανῷ, βιασάμενος ὁ δῆμος εἰς τὸ Ἄρειον
to-bury in Alban(-estate) having-used-force the people into the of-Mars
πεδίον κατήνεγκεν, οἴκτῳ τῆς κόρης μᾶλλον ἢ Πομπηΐῳ
field carried-down(-it) from-pity of-the girl rather than to-Pompey
καὶ Καίσαρι χαριζόμενος. αὐτῶν δὲ ἐκείνων μεῖζον ἐδόκει
and Caesar doing-a-favor themselves and of-those greater seemed
μέρος ἀπόντι Καίσαρι νέμειν ὁ δῆμος ἢ Πομπηΐῳ
portion to-absent Caesar to-assign the people than to-Pompey
παρόντι τῆς τιμῆς. εὐθὺς γὰρ ἐκύμαινεν ἡ πόλις, καὶ
present of-the honor at-once for was-in-turmoil the city and

πάντα τὰ πράγματα σάλον εἶχε καὶ λόγους διαστατικούς,
all the affairs agitation had and speeches divisive
ὡς ἡ πρότερον παρακαλύπτουσα μᾶλλον ἢ κατείργουσα
since the formerly veiling rather than restraining
τῶν ἀνδρῶν τὴν φιλαρχίαν οἰκειότης ἀνῄρηται. μετ᾽ οὐ
of-the men the love-of-power kinship has-been-destroyed after not
πολὺ δὲ καὶ Κράσσος ἐν Πάρθοις ἀπολωλὼς ἠγγέλλετο·
much and also Crassus among Parthians having-perished was-reported
καὶ τοῦτο κώλυμα ὂν μέγα τοῦ συμπεσεῖν τὸν ἐμφύλιον
and this hindrance being great of-the to-break-out the civil
πόλεμον ἐκποδὼν ἐγεγόνει· δεδιότες γὰρ ἐκεῖνον ἀμφότεροι
war out-of-the-way had-become fearing for him both
τοῖς πρὸς ἀλλήλους ἁμῶς γε πως ἐνέμενον δικαίοις.
to-the toward each-other in-some-way at-least somehow abided just(-terms)
ἐπεὶ δὲ ἀνεῖλεν ἡ τύχη τὸν ἔφεδρον τοῦ ἀγῶνος, εὐθὺς
when and removed the fortune the reserve-fighter of-the contest at-once
ἦν εἰπεῖν τὸ κωμικόν, ὡς

ἄτερος πρὸς τὸν ἕτερον
the-one against the other
ὑπαλείφεται τὼ χεῖρέ θ᾽ ὑποκονίεται.
oils-himself the hands and dusts-himself

οὕτως ἡ τύχη μικρόν ἐστι πρὸς τὴν φύσιν. οὐ γὰρ
so the fortune small-thing is compared-to the nature not for
ἀποπίμπλησιν αὐτῆς τὴν ἐπιθυμίαν, ὅπου τοσοῦτον βάθος
it-satisfies its the desire where so-great depth
ἡγεμονίας καὶ μέγεθος εὐρυχωρίας δυοῖν ἀνδροῖν οὐκ ἐπέσχεν,
of-empire and magnitude of-extent two men not checked
ἀλλ᾽ ἀκούοντες καὶ ἀναγινώσκοντες ὅτι "τριχθὰ δὲ πάντα
but hearing and reading that threefold and all-things

δέδασται" τοῖς θεοῖς, "ἕκαστος δ' ἔμμορε τιμῆς,"
has-been-divided among-the gods each and has-got-a-share of-honor
ἑαυτοῖς οὐκ ἐνόμιζον ἀρκεῖν δυσὶν οὖσι τὴν Ῥωμαίων ἀρχήν.
for-themselves not they-thought to-suffice two being the of-Romans empire
Καίτοι Πομπήϊος εἶπέ ποτε δημηγορῶν ὅτι πᾶσαν ἀρχὴν 54
and-yet Pompey said once addressing-the-people that every office
λάβοι πρότερον ἢ προσεδόκησε καὶ κατάθοιτο θᾶττον
he-received sooner than he-expected and laid-down quicker
ἢ προσεδοκήθη. καὶ νὴ Δία μαρτυρούσας εἶχεν ἀεὶ τὰς
than was-expected and by Zeus witnessing he-had always the
διαλύσεις τῶν στρατοπέδων. τότε δὲ τὸν Καίσαρα δοκῶν
disbandings of-the armies then but — Caesar thinking
οὐ προήσεσθαι τὴν δύναμιν ἐζήτει ταῖς πολιτικαῖς ἀρχαῖς
not to-be-going-to-give-up the power he-sought by-the political offices
ὀχυρὸς εἶναι πρὸς αὐτόν, ἄλλο δὲ οὐδὲν ἐνεωτέριζεν,
secure to-be against him other but nothing he-innovated
οὐδὲ ἐβούλετο δοκεῖν ἀπιστεῖν, ἀλλ' ὑπερορᾶν μᾶλλον
striking at the faces the enemy he-turned-back all

καὶ τοῦ σκάφους ἐπεκράτησε· τοῦτο δὲ Κάσσιος Σκεύας,
and of-the vessel became-master on-the-other and Cassius Scaeva
ὃς ἐν τῇ περὶ Δυρράχιον μάχῃ τὸν ὀφθαλμὸν ἐκκοπεὶς
who in the at Dyrrachium battle the eye having-been-struck-out
τοξεύματι, τὸν δὲ ὦμον ὑσσῷ καὶ τὸν μηρὸν ἑτέρῳ
by-an-arrow the and shoulder by-a-javelin and the thigh by-another
διεληλαμένος, τῷ δὲ θυρεῷ βελῶν ἑκατὸν καὶ τριάκοντα
run-through with-the and shield of-missiles hundred and thirty
πληγὰς ἀναδεδεγμένος, ἐκάλει τοὺς πολεμίους ὡς
blows having-received called the enemy as
παραδώσων ἑαυτόν. δυεῖν δὲ προσιόντων, τοῦ μὲν ἀπέκοψε
going-to-surrender himself two and approaching of-the one he-cut-off
τὸν ὦμον τῇ μαχαίρᾳ, τὸν δὲ κατὰ τοῦ προσώπου
the shoulder with-the sword the other in the face
πατάξας ἀπέστρεψεν, αὐτὸς δὲ διεσώθη τῶν οἰκείων
having-struck turned-back he and was-saved the comrades
περισχόντων. ἐν δὲ Βρεττανίᾳ τῶν πολεμίων εἰς τόπον
having-surrounded(-him) in and Britain the enemy into a-place
ἑλώδη καὶ μεστὸν ὑδάτων ἐμπεσοῦσι τοῖς πρώτοις ταξιάρχοις
marshy and full of-water having-fallen the first centurions
ἐπιθεμένων στρατιώτης, Καίσαρος αὐτοῦ τὴν μάχην
having-attacked a-soldier Caesar himself the battle
ἐφορῶντος, ὠσάμενος εἰς μέσους καὶ πολλὰ καὶ περίοπτα
watching having-pushed into the-midst and many and conspicuous
τόλμης ἀποδειξάμενος ἔργα τοὺς μὲν ταξιάρχους ἔσωσε, τῶν
of-daring having-displayed deeds the indeed centurions saved the
βαρβάρων φυγόντων, αὐτὸς δὲ χαλεπῶς ἐπὶ πᾶσι διαβαίνων
barbarians having-fled he but with-difficulty after all crossing
ἔρριψεν ἑαυτὸν εἰς ῥεύματα τελματώδη, καὶ μόλις ἄνευ τοῦ
threw himself into streams muddy and barely without the
θυρεοῦ, τὰ μὲν νηχόμενος, τὰ δὲ βαδίζων, διεπέρασε.
shield the-one indeed swimming the-other and walking crossed

θαυμαζόντων δὲ τῶν περὶ τὸν Καίσαρα καὶ μετὰ χαρᾶς
admiring and those around — Caesar and with joy
καὶ κραυγῆς ἀπαντώντων, αὐτὸς εὖ μάλα κατηφὴς καὶ
and shouting meeting(-him) he very much downcast and
δεδακρυμένος προσέπεσε τῷ Καίσαρι, συγγνώμην αἰτούμενος
in-tears fell-before — Caesar pardon asking
ἐπὶ τῷ προέσθαι τὸν θυρεόν. ἐν δὲ Λιβύῃ ναῦν ἑλόντες οἱ
for the to-have-let-go the shield in and Libya a-ship having-taken those
περὶ Σκηπίωνα Καίσαρος, ἐν ᾗ Γράνιος Πέτρων ἐπέπλει
around Scipio of-Caesar in which Granius Petro was-sailing
ταμίας ἀποδεδειγμένος, τοὺς μὲν ἄλλους ἐποιοῦντο λείαν,
as-quaestor appointed the indeed others they-made booty
τῷ δὲ ταμίᾳ διδόναι τὴν σωτηρίαν ἔφασαν. ὁ δὲ εἰπὼν
to-the and quaestor to-give the safety they-said he and having-said
ὅτι τοῖς Καίσαρος στρατιώταις οὐ λαμβάνειν, ἀλλὰ διδόναι
that to-the of-Caesar soldiers not to-receive but to-give
σωτηρίαν ἔθος ἐστίν, ἑαυτὸν τῷ ξίφει πατάξας ἀνεῖλε.
safety custom it-is himself with-the sword having-struck killed

V · HELVETII, ARIOVISTUS, AND THE NERVII

Caesar hardens his frail, epileptic body by campaigning, dictates letters on horseback, and shares hardships with his men. He crushes the Helvetii and resettles them; he shames his timid officers and routs Ariovistus' Germans as far as the Rhine. From Cisalpine Gaul he courts Roman politicians, then defeats the Belgae and, seizing a shield himself, saves his army from the Nervii, of whom few survive.

17 Τὰ δὲ τοιαῦτα λήματα καὶ τὰς φιλοτιμίας αὐτὸς ἀνέθρεψε
the and such spirit and the ambitions himself fostered
καὶ κατεσκεύασε Καῖσαρ, πρῶτον μὲν τῷ χαρίζεσθαι
and created Caesar first indeed by-the gratifying

καὶ τιμᾶν ἀφειδῶς ἐνδεικνύμενος ὅτι τὸν πλοῦτον οὐκ
and honoring unsparingly showing that the wealth not
εἰς τρυφὴν ἰδίαν οὐδέ τινας ἡδυπαθείας ἐκ τῶν πολέμων
for luxury private nor some pleasures from the wars
ἀθροίζει, κοινὰ δὲ ἆθλα τῆς ἀνδραγαθίας παρ᾽ αὐτῷ
he-collects common but prizes of-the bravery with him
φυλασσόμενα ἀπόκειται, καὶ μέτεστιν ἐκείνῳ τοῦ πλουτεῖν
guarded are-stored and he-has-a-share that-one of-the to-be-rich
ὅσα τοῖς ἀξίοις τῶν στρατιωτῶν δίδωσιν· ἔπειτα τῷ
as-much-as to-the deserving of-the soldiers he-gives then by-the
πάντα μὲν κίνδυνον ἑκὼν ὑφίστασθαι, πρὸς μηδένα δὲ
every indeed danger willingly to-undergo for none and
τῶν πόνων ἀπαγορεύειν. τὸ μὲν οὖν φιλοκίνδυνον οὐκ
of-the toils to-give-up the indeed then love-of-danger not
ἐθαύμαζον αὐτοῦ διὰ τὴν φιλοτιμίαν· ἡ δὲ τῶν πόνων
they-wondered-at his because-of the ambition the but of-the toils
ὑπομονὴ παρὰ τὴν τοῦ σώματος δύναμιν ἐγκαρτερεῖν
endurance beyond the of-the body power to-persevere
δοκοῦντος ἐξέπληττεν, ὅτι καὶ τὴν ἕξιν ὢν ἰσχνὸς καὶ
seeming astonished(-them) because both the habit being lean and
τὴν σάρκα λευκὸς καὶ ἁπαλὸς καὶ τὴν κεφαλὴν νοσώδης
the flesh white and soft and the head sickly
καὶ τοῖς ἐπὶ τοῖς ἐπιληπτικοῖς ἔνοχος, ἐν Κορδύβῃ πρῶτον
and to-the in the epileptic(-fits) subject in Corduba first
αὐτῷ τοῦ πάθους, ὡς λέγεται, τούτου προσπεσόντος,
to-him of-the affliction as is-said this having-attacked
οὐ μαλακίας ἐποιήσατο τὴν ἀρρωστίαν πρόφασιν, ἀλλὰ
not of-softness he-made the sickness a-pretext but
θεραπείαν τῆς ἀρρωστίας τὴν στρατείαν, ταῖς ἀτρύτοις
cure of-the sickness the campaigning with-the untiring
ὁδοιπορίαις καὶ ταῖς εὐτελέσι διαίταις καὶ τῷ θυραυλεῖν
marches and with-the simple diet and with-the living-outdoors

ἐνδελεχῶς καὶ ταλαιπωρεῖν ἀπομαχόμενος τῷ πάθει καὶ τὸ
continually and enduring-hardship fighting-off the affliction and the
σῶμα τηρῶν δυσάλωτον. ἐκοιμᾶτο μέν γε τοὺς πλείστους
body keeping hard-to-capture he-slept indeed at-least the most
ὕπνους ἐν ὀχήμασιν ἢ φορείοις, εἰς πρᾶξιν τὴν ἀνάπαυσιν
sleeps in vehicles or litters into action the rest
κατατιθέμενος, ὠχεῖτο δὲ μεθ' ἡμέραν ἐπὶ τὰ φρούρια
putting he-was-carried and by day to the garrisons
καὶ τὰς πόλεις καὶ τοὺς χάρακας, ἑνὸς αὐτῷ συγκαθημένου
and the cities and the camps one with-him sitting
παιδὸς τῶν ὑπογράφειν ἅμα διώκοντος εἰθισμένων, ἑνὸς δ'
slave of-those to-take-dictation at-once traveling accustomed one and
ἐξόπισθεν ἐφεστηκότος στρατιώτου ξίφος ἔχοντος. συντόνως
behind standing soldier a-sword having intensely
δὲ ἤλαυνεν οὕτως ὥστε τὴν πρώτην ἔξοδον ἀπὸ Ῥώμης
and he-drove so so-that the first departure from Rome
ποιησάμενος ὀγδοαῖος ἐπὶ τὸν Ῥοδανὸν ἐλθεῖν. τὸ μὲν
having-made on-the-eighth-day to the Rhone to-come the indeed
οὖν ἱππεύειν ἐκ παιδὸς ἦν αὐτῷ ῥᾴδιον· εἴθιστο γὰρ
then to-ride from boyhood was for-him easy he-was-accustomed for
εἰς τοὐπίσω τὰς χεῖρας ἀπάγων καὶ τῷ νώτῳ περιπλέκων
to the-back the hands bringing and on-the back clasping
ἀνὰ κράτος ἐλαύνειν τὸν ἵππον. ἐν ἐκείνῃ δὲ τῇ στρατείᾳ
at full-speed to-drive the horse in that and the campaign
προσεξήσκησεν ἱππαζόμενος τὰς ἐπιστολὰς ὑπαγορεύειν
he-practiced-besides riding the letters to-dictate
καὶ δυσὶν ὁμοῦ γράφουσιν ἐξαρκεῖν, ὡς δὲ Ὄππιός φησι,
and to-two at-once writing to-suffice as but Oppius says
καὶ πλείοσι. λέγεται δὲ καὶ τὸ διὰ γραμμάτων τοῖς
even to-more it-is-said and also the by letters with-the
φίλοις ὁμιλεῖν Καίσαρα πρῶτον μηχανήσασθαι, τὴν κατὰ
friends to-converse Caesar first to-have-devised the by

πρόσωπον ἔντευξιν ὑπὲρ τῶν ἐπειγόντων τοῦ καιροῦ
face meeting about the urgent(-matters) the occasion
διά τε πλῆθος ἀσχολιῶν καὶ τῆς πόλεως τὸ μέγεθος
because-of both number of-occupations and the city's the size
μὴ περιμένοντος. τῆς δὲ περὶ τὴν δίαιταν εὐκολίας
not waiting of-the and about the diet easiness
κἀκεῖνο ποιοῦνται σημεῖον, ὅτι τοῦ δειπνίζοντος αὐτὸν
also-this they-make a-sign that the entertaining-at-dinner him
ἐν Μεδιολάνῳ ξένου Οὐαλλερίου Λέοντος παραθέντος
in Mediolanum host Valerius Leo having-served
ἀσπάραγον καὶ μύρον ἀντ᾽ ἐλαίου καταχέαντος, αὐτὸς
asparagus and perfume instead-of oil having-poured-on he
μὲν ἀφελῶς ἔφαγε, τοῖς δὲ φίλοις δυσχεραίνουσιν
indeed simply ate the and friends being-displeased
ἐπέπληξεν. "Ἤρκει γάρ," ἔφη, "τὸ μὴ χρῆσθαι τοῖς
he-rebuked it-was-enough for he-said the not to-use the
ἀπαρέσκουσιν· ὁ δὲ τὴν τοιαύτην ἀγροικίαν ἐξελέγχων
displeasing(-things) he but the such boorishness exposing
αὐτός ἐστιν ἄγροικος." ἐν ὁδῷ δέ ποτε συνελασθεὶς
himself is boorish on road and once having-been-driven
ὑπὸ χειμῶνος εἰς ἔπαυλιν ἀνθρώπου πένητος, ὡς οὐδὲν
by a-storm into a-hut of-a-man poor when nothing
εὗρε πλέον οἰκήματος ἑνὸς γλίσχρως ἕνα δέξασθαι
he-found more than-a-room one barely one to-receive
δυναμένου, πρὸς τοὺς φίλους εἰπὼν ὡς τῶν μὲν ἐντίμων
able to the friends having-said that the indeed honors
παραχωρητέον εἴη τοῖς κρατίστοις, τῶν δὲ ἀναγκαίων τοῖς
must-be-yielded it-is to-the strongest the but necessities to-the
ἀσθενεστάτοις, Ὄππιον ἐκέλευσεν ἀναπαύσασθαι· αὐτὸς δὲ
weakest Oppius he-bade to-rest he and
μετὰ τῶν ἄλλων ὑπὸ τῷ προστεγίῳ τῆς θύρας ἐκάθευδεν.
with the others under the porch of-the door slept

18 Ἀλλὰ γὰρ ὁ μὲν πρῶτος αὐτῷ τῶν Κελτικῶν πολέμων
but for the indeed first for-him of-the Gallic wars
πρὸς Ἑλβηττίους συνέστη καὶ Τιγυρίνους, οἳ τὰς αὑτῶν
against Helvetii arose and Tigurini who the their
δώδεκα πόλεις καὶ κώμας τετρακοσίας ἐμπρήσαντες
twelve cities and villages four-hundred having-burned
ἐχώρουν πρόσω διὰ τῆς ὑπὸ Ῥωμαίους Γαλατίας,
advanced forward through the under Romans Gaul
ὥσπερ πάλαι Κίμβροι καὶ Τεύτονες, οὔτε τόλμαν ἐκείνων
as long-ago Cimbri and Teutones neither in-daring than-those
ὑποδεέστεροι δοκοῦντες εἶναι καὶ πλῆθος ὁμαλῶς τριάκοντα
inferior seeming to-be and in-number equally thirty
μὲν αἱ πᾶσαι μυριάδες ὄντες, εἴκοσι δὲ αἱ μαχόμεναι μιᾶς
indeed the all ten-thousands being twenty and the fighting by-one
δέουσαι. τούτων Τιγυρίνους μὲν οὐκ αὐτός, ἀλλὰ Λαβιηνὸς
lacking of-these Tigurini indeed not himself but Labienus
πεμφθεὶς ὑπ᾽ αὐτοῦ περὶ τὸν Ἄραρα ποταμὸν συνέτριψεν,
sent by him near the Arar river crushed
Ἑλβηττίων δὲ αὐτῷ πρός τινα πόλιν φίλην ἄγοντι τὴν
Helvetii and him toward some city friendly leading the
στρατιὰν καθ᾽ ὁδὸν ἀπροσδοκήτως ἐπιθεμένων φθάσας
army on the-road unexpectedly having-attacked having-anticipated
ἐπὶ χωρίον καρτερὸν κατέφυγε. κἀκεῖ συναγαγὼν καὶ
to a-place strong he-fled and-there having-gathered and
παρατάξας τὴν δύναμιν, ὡς ἵππος αὐτῷ προσήχθη,
having-drawn-up the force when a-horse to-him was-brought
“Τούτῳ μέν,” ἔφη, “νικήσας χρήσομαι πρὸς τὴν δίωξιν,
this indeed he-said having-conquered I-will-use for the pursuit
νῦν δὲ ἴωμεν ἐπὶ τοὺς πολεμίους,” καὶ πεζὸς ὁρμήσας
now and let-us-go against the enemy and on-foot having-charged
ἐνέβαλε. χρόνῳ δὲ καὶ χαλεπῶς ὠσάμενος τὸ μάχιμον
attacked in-time and and with-difficulty having-thrust-back the fighting(-force)

περὶ ταῖς ἁμάξαις καὶ τῷ χάρακι τὸν πλεῖστον ἔσχε πόνον,
around the wagons and the palisade the most had toil
οὐκ αὐτῶν μόνων ὑφισταμένων ἐκεῖ καὶ μαχομένων, ἀλλὰ
not they alone standing-firm there and fighting but
καὶ παῖδες αὐτῶν καὶ γυναῖκες ἀμυνόμενοι μέχρι θανάτου
also children their and women defending-themselves to death
συγκατεκόπησαν, ὥστε τὴν μάχην μόλις εἰς μέσας
were-cut-down-with(-them) so-that the battle barely toward middle
νύκτας τελευτῆσαι. καλῷ δὲ τῷ τῆς νίκης ἔργῳ κρεῖττον
nights to-end noble and to-the of-the victory work a-better-thing
ἐπέθηκε τὸ συνοικίσαι τοὺς διαφυγόντας ἐκ τῆς μάχης
he-added the to-settle-together those having-escaped from the battle
τῶν περιόντων βαρβάρων, καὶ καταναγκάσαι τὴν χώραν
of-the surviving barbarians and to-compel the land
ἀναλαβεῖν ἣν ἀπέλιπον καὶ τὰς πόλεις ἃς διέφθειραν,
to-take-back which they-had-left and the cities which they-destroyed
ὄντας ὑπὲρ δέκα μυριάδας. ἔπραξε δὲ τοῦτο δεδιὼς μὴ τὴν
being over ten ten-thousands he-did and this fearing lest the
χώραν ἔρημον γενομένην οἱ Γερμανοὶ διαβάντες κατάσχωσι.
land empty having-become the Germans having-crossed occupy
Δεύτερον δὲ πρὸς Γερμανοὺς ἄντικρυς ὑπὲρ Κελτῶν 19
second and against Germans openly for Gauls
ἐπολέμησε, καίτοι τὸν βασιλέα πρότερον αὐτῶν Ἀριόβιστον
he-made-war although the king formerly their Ariovistus
ἐν Ῥώμῃ σύμμαχον πεποιημένος· ἀλλ᾽ ἦσαν ἀφόρητοι τοῖς
in Rome ally having-made but they-were intolerable to-the
ὑπηκόοις αὐτοῦ γείτονες, καὶ καιροῦ παραδόντος οὐκ ἂν
subjects his neighbors and opportunity offering not —
ἐδόκουν ἐπὶ τοῖς παροῦσιν ἀτρεμήσειν, ἀλλ᾽ ἐπινεμήσεσθαι
they-seemed with the present(-state) going-to-keep-quiet but going-to-encroach
καὶ καθέξειν τὴν Γαλατίαν. ὁρῶν δὲ τοὺς ἡγεμόνας
and going-to-seize — Gaul seeing and the officers

ἀποδειλιῶντας, καὶ μάλιστα ὅσοι τῶν ἐπιφανῶν καὶ
playing-the-coward and especially as-many-as of-the distinguished and
νέων αὐτῷ συνεξῆλθον ὡς δὴ τρυφῇ χρησόμενοι καὶ
young with-him went-out as indeed for-luxury going-to-use and
χρηματισμῷ τῇ μετὰ Καίσαρος στρατείᾳ, συναγαγὼν εἰς
money-making the with Caesar campaign having-gathered(-them) into
ἐκκλησίαν ἐκέλευσεν ἀπιέναι καὶ μὴ κινδυνεύειν παρὰ γνώμην
assembly he-bade(-them) to-go-away and not to-risk against judgment
οὕτως ἀνάνδρως καὶ μαλακῶς ἔχοντας, αὐτὸς δὲ ἔφη τὸ
so unmanly and softly being he and said the
δέκατον τάγμα μόνον παραλαβὼν ἐπὶ τοὺς βαρβάρους
tenth legion alone having-taken against the barbarians
πορεύσεσθαι, μήτε κρείττοσι μέλλων Κίμβρων μάχεσθαι
to-march neither stronger about-to than-Cimbri to-fight
πολεμίοις μήτε αὐτὸς ὢν Μαρίου χείρων στρατηγός. ἐκ
enemies nor himself being than-Marius worse general from
τούτου τὸ μὲν δέκατον τάγμα πρεσβευτὰς ἔπεμψε πρὸς
this the indeed tenth legion envoys sent to
αὐτὸν χάριν ἔχειν ὁμολογοῦντες, τὰ δὲ ἄλλα τοὺς ἑαυτῶν
him gratitude to-have acknowledging the and others the their-own
ἐκάκιζον ἡγεμόνας, ὁρμῆς δὲ καὶ προθυμίας γενόμενοι
reproached officers of-impetus and and zeal having-become
πλήρεις ἅπαντες ἠκολούθουν ὁδὸν ἡμερῶν πολλῶν, ἕως
full all followed a-road of-days many until
ἐν διακοσίοις τῶν πολεμίων σταδίοις κατεστρατοπέδευσαν.
within two-hundred of-the enemy stades they-encamped
Ἦν μὲν οὖν ὅ τι καὶ πρὸς τὴν ἔφοδον αὐτὴν ἐτέθραυστο
was indeed then what ever also at the approach itself had-been-shaken
τῆς γνώμης τοῦ Ἀριοβίστου. Γερμανοῖς γὰρ ἐπιθήσεσθαι
of-the resolve — of-Ariovistus Germans for to-attack
Ῥωμαίους, ὧν ἐπερχομένων οὐκ ἂν ἐδόκουν ὑποστῆναι,
Romans whom attacking not — they-seemed to-withstand

μὴ προσδοκήσας ἐθαύμαζε τὴν Καίσαρος τόλμαν καὶ
not having-expected he-wondered-at the of-Caesar daring and
τὸν στρατὸν ἑώρα τεταραγμένον. ἔτι δὲ μᾶλλον αὐτοὺς
the army saw confused still and more them
ἤμβλυνε τὰ μαντεύματα τῶν ἱερῶν γυναικῶν, αἳ ποταμῶν
dulled the prophecies of-the holy women who at-rivers'
δίναις προσβλέπουσαι καὶ ῥευμάτων ἑλιγμοῖς καὶ ψόφοις
eddies looking and from-streams' windings and sounds
τεκμαιρόμεναι προεθέσπιζον, οὐκ ἐῶσαι μάχην τίθεσθαι πρὶν
judging foretold not allowing battle to-join before
ἐπιλάμψαι νέαν σελήνην. ταῦτα τῷ Καίσαρι πυνθανομένῳ
to-shine-out new moon these-things — to-Caesar learning
καὶ τοὺς Γερμανοὺς ἡσυχάζοντας ὁρῶντι καλῶς ἔχειν ἔδοξεν
and the Germans keeping-quiet seeing well to-be it-seemed
ἀπροθύμοις οὖσιν αὐτοῖς συμβαλεῖν μᾶλλον ἢ τὸν ἐκείνων
unwilling being with-them to-engage rather than the their
ἀναμένοντα καιρὸν καθῆσθαι. καὶ προσβολὰς ποιούμενος
awaiting moment to-sit and attacks making
τοῖς ἐρύμασι καὶ λόφοις ἐφ' ὧν ἐστρατοπέδευον, ἐξηγρίαινε
on-the fortifications and hills on which they-were-encamped he-provoked
καὶ παρώξυνε καταβάντας πρὸς ὀργὴν διαγωνίσασθαι.
and goaded having-come-down in anger to-fight-it-out
γενομένης δὲ λαμπρᾶς τροπῆς αὐτῶν, ἐπὶ σταδίους
having-occurred and brilliant rout their for stades
τετρακοσίους ἄχρι τοῦ Ῥήνου διώξας κατέπλησε τοῦτο
four-hundred as-far-as the Rhine having-pursued he-filled this
πᾶν νεκρῶν τὸ πεδίον καὶ λαφύρων. Ἀριόβιστος δὲ
all with-corpses the plain and with-spoils Ariovistus and
φθάσας μετ' ὀλίγων διεπέρασε τὸν Ῥῆνον· ἀριθμὸν δὲ
having-got-ahead with few crossed the Rhine the-number and
νεκρῶν μυριάδας ὀκτὼ γενέσθαι λέγουσι.
of-corpses ten-thousands eight to-have-been they-say

20 Ταῦτα διαπραξάμενος τὴν μὲν δύναμιν ἐν Σηκουανοῖς
these-things having-accomplished the indeed force among Sequani
ἀπέλιπε διαχειμάσουσαν, αὐτὸς δὲ τοῖς ἐν Ῥώμῃ προσέχειν
he-left to-winter he and to-the in Rome to-attend
βουλόμενος εἰς τὴν περὶ Πάδον Γαλατίαν κατέβη, τῆς
wishing to the around Padus Gaul went-down the
αὐτῷ δεδομένης ἐπαρχίας οὖσαν· ὁ γὰρ καλούμενος
to-him assigned province being the for called
Ῥουβίκων ποταμὸς ἀπὸ τῆς ὑπὸ ταῖς Ἄλπεσι Κελτικῆς
Rubicon river from the under the Alps Gaul
ὁρίζει τὴν ἄλλην Ἰταλίαν. ἐνταῦθα καθήμενος ἐδημαγώγει,
divides the rest-of Italy there sitting he-courted-the-people
πολλῶν πρὸς αὐτὸν ἀφικνουμένων, διδοὺς ὧν ἕκαστος
many to him coming giving what each
δεηθείη, καὶ πάντας ἀποπέμπων τὰ μὲν ἔχοντας ἤδη
might-ask and all sending-away some indeed having already
παρ᾽ αὐτοῦ, τὰ δὲ ἐλπίζοντας. καὶ παρὰ τὸν ἄλλον δὲ
from him others and hoping and during the other and
πάντα τῆς στρατείας χρόνον ἐλάνθανε τὸν Πομπήϊον
all the campaign time he-escaped-notice-of — Pompey
ἐν μέρει νῦν μὲν τοὺς πολεμίους τοῖς τῶν πολιτῶν
by turns now indeed the enemy with-the of-the citizens
ὅπλοις καταστρεφόμενος, νῦν δὲ τοῖς ἀπὸ τῶν πολεμίων
arms subduing now and with-the from the enemy
χρήμασιν αἱρῶν τοὺς πολίτας καὶ χειρούμενος.
money capturing the citizens and subjecting
Ἐπεὶ δὲ Βέλγας ἤκουσε δυνατωτάτους Κελτῶν καὶ
when and Belgae he-heard most-powerful of-Gauls and
τὴν τρίτην ἁπάσης τῆς Κελτικῆς νεμομένους ἀφεστάναι,
the third of-all — of-Gaul inhabiting to-have-revolted
πολλὰς δή τινας μυριάδας ἐνόπλων ἀνδρῶν ἠθροικότας,
many indeed some ten-thousands of-armed men having-gathered

ἐπιστρέψας εὐθὺς ἐχώρει τάχει πολλῷ· καὶ πορθοῦσι
having-turned at-once he-went with-speed great and ravaging
τοὺς συμμάχους Γαλάτας ἐπιπεσὼν τοῖς πολεμίοις τοὺς
the allied Gauls having-fallen-on the enemy the
μὲν ἀθρουστάτους καὶ πλείστους αἰσχρῶς ἀγωνισαμένους
indeed most-massed and most-numerous shamefully having-fought
τρεψάμενος διέφθειρεν, ὥστε καὶ λίμνας καὶ ποταμοὺς
having-routed he-destroyed so-that both lakes and rivers
βαθεῖς τοῖς Ῥωμαίοις νεκρῶν πλήθει περατοὺς γενέσθαι,
deep for-the Romans of-corpses by-multitude crossable to-become
τῶν δ' ἀποστάντων οἱ μὲν παρωκεάνιοι πάντες ἀμαχεὶ
of-the and revolted the some coastal all without-battle
προσεχώρησαν· ἐπὶ δὲ τοὺς ἀγριωτάτους καὶ μαχιμωτάτους
came-over against and the most-savage and most-warlike
τῶν τῇδε, Νερβίους, ἐστράτευσεν, οἵπερ εἰς συμμιγεῖς
of-the here(-folk) Nervii he-marched who in mingled
δρυμοὺς κατῳκημένοι, γενεὰς δὲ καὶ κτήσεις ἔν τινι βυθῷ τῆς
thickets settled families and and possessions in some depth of-the
ὕλης ἀπωτάτω θέμενοι τῶν πολεμίων, αὐτοὶ τῷ Καίσαρι
forest farthest having-placed from-the enemy they — on-Caesar
ποιουμένῳ χάρακα καὶ μὴ προσδεχομένῳ τηνικαῦτα τὴν
making a-palisade and not expecting at-that-time the
μάχην ἑξακισμύριοι τὸ πλῆθος ὄντες αἰφνιδίως προσέπεσον,
battle sixty-thousand the number being suddenly fell-upon(-him)
καὶ τοὺς μὲν ἱππεῖς ἐτρέψαντο, τῶν δὲ ταγμάτων τὸ
and the indeed horsemen routed of-the and legions the
δωδέκατον καὶ τὸ ἕβδομον περισχόντες ἅπαντας ἀπέκτειναν
twelfth and the seventh having-surrounded all killed
τοὺς ταξιάρχους. εἰ δὲ μὴ Καῖσαρ ἁρπάσας τὸν θυρεὸν
the centurions if and not Caesar having-snatched the shield
καὶ διασχὼν τοὺς πρὸ αὐτοῦ μαχομένους ἐνέβαλε τοῖς
and having-parted those before him fighting had-charged at-the

βαρβάροις, καὶ ἀπὸ τῶν ἄκρων τὸ δέκατον κινδυνεύοντος
barbarians and from the heights the tenth being-in-danger
αὐτοῦ κατέδραμε καὶ διέκοψε τὰς τάξεις τῶν πολεμίων,
him had-run-down and broken-through the ranks of-the enemy
οὐδεὶς ἂν δοκεῖ περιγενέσθαι· νῦν δὲ τῇ Καίσαρος
nobody — seems to-have-survived now but by-the of-Caesar
τόλμῃ τὴν λεγομένην ὑπὲρ δύναμιν μάχην ἀγωνισάμενοι
daring the called beyond strength battle having-fought
τρέπονται μὲν οὐδ' ὡς τοὺς Νερβίους, κατακόπτουσι δὲ
they-rout indeed not-even so the Nervii they-cut-down and
ἀμυνομένους· πεντακόσιοι γὰρ ἀπὸ μυριάδων ἓξ σωθῆναι
defending-themselves five-hundred for out-of ten-thousands six to-have-been-saved
λέγονται, βουλευταὶ δὲ τρεῖς ἀπὸ τετρακοσίων.
are-said senators and three out-of four-hundred

VI · LUCA, THE RHINE, AND BRITAIN

The senate decrees fifteen days of thanksgiving; at Luca Caesar arranges consulships for Pompey and Crassus and five more years for himself. He destroys the Usipes and Tenteritae after a truce, and Cato proposes surrendering him to the barbarians. He bridges the Rhine in ten days, crosses to Britain twice to little profit, and learns of his daughter Julia's death, which the people honor with burial on the Field of Mars.

21 Ταῦτα ἡ σύγκλητος πυθομένη πεντεκαίδεκα ἡμέρας
these-things the senate having-learned fifteen days
ἐψηφίσατο θύειν τοῖς θεοῖς καὶ σχολάζειν ἑορτάζοντας,
voted to-sacrifice to-the gods and to-rest holding-festival
ὅσας ἐπ' οὐδεμιᾷ νίκῃ πρότερον. καὶ γὰρ ὁ κίνδυνος
as-many-as for no victory before and for the danger
ἐφάνη μέγας, ἐθνῶν ἅμα τοσούτων ἀναρραγέντων, καὶ τὸ
appeared great nations at-once so-many having-broken-out and the

νίκημα λαμπρότερον, ὅτι Καῖσαρ ἦν ὁ νικῶν, ἡ πρὸς
victory more-brilliant because Caesar was the victor the toward
ἐκεῖνον εὔνοια τῶν πολλῶν ἐποίει. Καῖσαρ δ᾽ αὐτὸς εὖ
him goodwill of-the many made(-it) Caesar and himself well
θέμενος τὰ κατὰ τὴν Γαλατίαν πάλιν ἐν τοῖς περὶ
having-settled the(-affairs) in — Gaul again in the around
Πάδον χωρίοις διεχείμαζε συσκευαζόμενος τὴν πόλιν. οὐ
Padus regions wintered working-on the city not
γὰρ μόνον οἱ τὰς ἀρχὰς παραγγέλλοντες ἐκείνῳ χρώμενοι
for only those for-the offices canvassing him using
χορηγῷ καὶ τοῖς παρ᾽ ἐκείνου χρήμασι διαφθείροντες τὸν
as-paymaster and with-the from him money corrupting the
δῆμον ἀνηγορεύοντο, καὶ πᾶν ἔπραττον ὃ τὴν ἐκείνου
people were-elected and everything did which the his
δύναμιν αὔξειν ἔμελλεν, ἀλλὰ καὶ τῶν ἐπιφανεστάτων
power to-increase was-likely but also of-the most-distinguished
ἀνδρῶν καὶ μεγίστων οἱ πλεῖστοι συνῆλθον πρὸς αὐτὸν
men and greatest the most came to him
εἰς Λοῦκαν, Πομπήϊός τε καὶ Κράσσος καὶ Ἄππιος
to Luca Pompey both and Crassus and Appius
ὁ τῆς Σαρδόνος ἡγεμὼν καὶ Νέπως ὁ τῆς Ἰβηρίας
the — of-Sardinia governor and Nepos the — of-Iberia
ἀνθύπατος, ὥστε ῥαβδούχους μὲν ἑκατὸν εἴκοσι γενέσθαι,
proconsul so-that lictors indeed hundred twenty to-have-been
συγκλητικοὺς δὲ πλείονας ἢ διακοσίους.
senators and more than two-hundred
Βουλὴν δὲ θέμενοι διεκρίθησαν ἐπὶ τούτοις· ἔδει
a-council and having-held they-parted on these(-terms) it-was-necessary
Πομπήϊον μὲν καὶ Κράσσον ὑπάτους ἀποδειχθῆναι,
Pompey indeed and Crassus consuls to-be-appointed
Καίσαρι δὲ χρήματα καὶ πενταετίαν ἄλλην ἐπιμετρηθῆναι
for-Caesar and money and five-years another to-be-measured-out

τῆς στρατηγίας, ὃ καὶ παραλογώτατον ἐφαίνετο τοῖς
of-the command which also most-unreasonable appeared to-those
νοῦν ἔχουσιν. οἱ γὰρ τοσαῦτα χρήματα παρὰ Καίσαρος
sense having those for so-much money from Caesar
λαμβάνοντες ὡς οὐκ ἔχοντι διδόναι τὴν βουλὴν ἔπειθον,
receiving as not having to-give(-it) the senate persuaded
μᾶλλον δὲ ἠνάγκαζον ἐπιστένουσαν οἷς ἐψηφίζοντο,
rather but compelled(-it) groaning at-what they-were-voting
Κάτωνος μὲν οὐ παρόντος, ἐπίτηδες γὰρ αὐτὸν εἰς
Cato indeed not being-present on-purpose for him to
Κύπρον ἀπεδιοπομπήσαντο, Φαωνίου δέ, ὃς ἦν ζηλωτὴς
Cyprus they-had-packed-off Favonius and who was an-emulator
Κάτωνος, ὡς οὐδὲν ἐπέραινεν ἀντιλέγων, ἐξαλλομένου
of-Cato when nothing he-accomplished speaking-against leaping-out
διὰ θυρῶν καὶ βοῶντος εἰς τὸ πλῆθος. ἀλλὰ προσεῖχεν
through doors and shouting to the multitude but heeded
οὐδείς, τῶν μὲν Πομπήϊον αἰδουμένων καὶ Κράσσον,
no-one the some Pompey respecting and Crassus
οἱ δὲ πλεῖστοι Καίσαρι χαριζόμενοι καὶ πρὸς τὰς ἀπ᾽
the and most to-Caesar doing-favors and upon the from
ἐκείνου ζῶντες ἐλπίδας ἡσύχαζον.
him living hopes kept-quiet

22 Τραπόμενος δὲ αὖθις ὁ Καῖσαρ ἐπὶ τὰς ἐν τῇ Κελτικῇ
having-turned and again — Caesar to the in — Gaul
δυνάμεις πολὺν καταλαμβάνει πόλεμον ἐν τῇ χώρᾳ, δύο
forces great finds war in the country two
Γερμανικῶν ἐθνῶν μεγάλων ἐπὶ κατακτήσει γῆς ἄρτι
German nations great for acquisition of-land just-now
τὸν Ῥῆνον διαβεβηκότων· Οὐσίπας καλοῦσι τοὺς ἑτέρους,
the Rhine having-crossed Usipes they-call the ones
τοὺς δὲ Τεντερίτας. περὶ δὲ τῆς πρὸς τούτους γενομένης
the others Tenteritae about and the with these having-occurred

μάχης ὁ μὲν Καῖσαρ ἐν ταῖς ἐφημερίσι γέγραφεν ὡς
battle — indeed Caesar in the commentaries has-written that
οἱ βάρβαροι διαπρεσβευόμενοι πρὸς αὐτὸν ἐν σπονδαῖς
the barbarians sending-envoys to him in truce
ἐπιθοῖντο καθ' ὁδόν, καὶ διὰ τοῦτο τρέψαιντο τοὺς αὐτοῦ
attacked on the-road and because-of this routed the his
πεντακισχιλίους ὄντας ἱππεῖς ὀκτακοσίοις τοῖς ἐκείνων μὴ
five-thousand being horsemen with-eight-hundred the their not
προσδοκῶντας· εἶτα πέμψειαν ἑτέρους πρὸς αὐτὸν αὖθις
expecting(-it) then sent others to him again
ἐξαπατῶντας, οὓς κατασχὼν ἐπαγάγοι τοῖς βαρβάροις τὸ
deceiving whom having-detained he-led-against the barbarians the
στράτευμα, τὴν πρὸς οὕτως ἀπίστους καὶ παρασπόνδους
army the toward so faithless and truce-breaking
πίστιν εὐήθειαν ἡγούμενος. Τανύσιος δὲ λέγει Κάτωνα,
good-faith simplicity considering Tanusius and says Cato
τῆς βουλῆς ἐπὶ τῇ νίκῃ ψηφιζομένης ἑορτὰς καὶ θυσίας,
the senate for the victory voting festivals and sacrifices
ἀποφήνασθαι γνώμην ὡς ἐκδοτέον ἐστὶ τὸν Καίσαρα
to-have-declared opinion that to-be-handed-over it-is — Caesar
τοῖς βαρβάροις, ἀφοσιουμένους τὸ παρασπόνδημα ὑπὲρ
to-the barbarians purifying(-themselves-of) the breach-of-truce for
τῆς πόλεως καὶ τὴν ἀρὰν εἰς τὸν αἴτιον τρέποντας.
the city and the curse onto the guilty(-one) turning
Τῶν δὲ διαβάντων αἱ μὲν κατακοπεῖσαι τεσσαράκοντα
of-the and having-crossed the indeed cut-down forty
μυριάδες ἦσαν, ὀλίγους δὲ τοὺς ἀποπεράσαντας αὖθις
ten-thousands were few and the having-crossed-back again
ὑπεδέξαντο Σούγαμβροι, Γερμανικὸν ἔθνος. καὶ ταύτην
received Sugambri a-German nation and this
λαβὼν αἰτίαν ἐπ' αὐτοὺς ὁ Καῖσαρ, ἄλλως δὲ
having-taken as-a-ground against them — Caesar otherwise and

δόξης ἐφιέμενος καὶ τοῦ πρῶτος ἀνθρώπων στρατῷ
glory aiming-at and the first of-men with-an-army
διαβῆναι τὸν Ῥῆνον, ἐγεφύρου πλάτος τε πολὺν ὄντα
to-cross the Rhine he-bridged in-breadth both great being
καὶ κατ᾽ ἐκεῖνο τοῦ πόρου μάλιστα πλημμυροῦντα καὶ
and at that(-point) of-the crossing most swollen and
τραχὺν καὶ ῥοώδη καὶ τοῖς καταφερομένοις στελέχεσι
rough and rushing and with-the carried-down trunks
καὶ ξύλοις πληγὰς καὶ σπαραγμοὺς ἐνδιδόντα κατὰ τῶν
and logs blows and tearings dealing against the
ἐρειδόντων τὴν γέφυραν. ἀλλὰ ταῦτα προβόλοις ξύλων
supporting the bridge but these-things with-breakwaters of-timbers
μεγάλων διὰ τοῦ πόρου καταπεπηγότων ἀναδεχόμενος,
great across the crossing fixed receiving
καὶ χαλινώσας τὸ προσπῖπτον ῥεῦμα τῷ ζεύγματι,
and having-bridled the falling current by-the bridge
πίστεως πάσης θέαμα κρεῖττον ἐπεδείξατο τὴν γέφυραν
of-belief all a-sight surpassing he-exhibited the bridge
ἡμέραις δέκα συντελεσθεῖσαν.
in-days ten completed

23 Περαιώσας δὲ τὴν δύναμιν, οὐδενὸς ὑπαντήσαι
having-carried-across and the force nobody to-meet(-him)
τολμήσαντος, ἀλλὰ καὶ τῶν ἡγεμονικωτάτων τοῦ
having-dared but even of-the most-leading of-the
Γερμανικοῦ Σουήβων εἰς βαθεῖς καὶ ὑλώδεις αὐλῶνας
German Suebi into deep and wooded glens
ἀνασκευασαμένων, πυρπολήσας μὲν τὴν τῶν πολεμίων,
having-packed-off having-burned indeed the(-land) of-the enemy
θαρρύνας δὲ τοὺς ἀεὶ τὰ Ῥωμαίων ἀσπαζομένους,
having-encouraged and those always the of-Romans welcoming

ἀνεχώρησεν αὖθις εἰς τὴν Γαλατίαν, εἴκοσι δυεῖν δεούσας
he-withdrew again into — Gaul twenty two lacking
ἡμέρας ἐν τῇ Γερμανικῇ διατετριφώς.
days in — Germany having-spent
Ἡ δὲ ἐπὶ τοὺς Βρεττανοὺς στρατεία τὴν μὲν τόλμαν
the and against the Britons campaign the indeed daring
εἶχεν ὀνομαστήν· πρῶτος γὰρ εἰς τὸν ἑσπέριον Ὠκεανὸν
had famous first for into the western Ocean
ἐπέβη στόλῳ, καὶ διὰ τῆς Ἀτλαντικῆς θαλάττης στρατὸν
he-went with-a-fleet and through the Atlantic sea an-army
ἐπὶ πόλεμον κομίζων ἔπλευσε· καὶ νῆσον ἀπιστουμένην
for war bringing he-sailed and an-island disbelieved
ὑπὸ μεγέθους καὶ πολλὴν ἔριν παμπόλλοις συγγραφεῦσι
because-of size and much dispute to-very-many writers
παρασχοῦσαν, ὡς ὄνομα καὶ λόγος οὐ γενομένης οὐδὲ οὔσης
having-afforded as name and story not having-been nor being
πέπλασται, κατασχεῖν ἐπιθέμενος προήγαγεν ἔξω τῆς
has-been-fabricated to-occupy having-undertaken he-carried-forward outside the
οἰκουμένης τὴν Ῥωμαίων ἡγεμονίαν. δὶς δὲ διαπλεύσας
inhabited-world the of-Romans dominion twice and having-sailed-across
εἰς τὴν νῆσον ἐκ τῆς ἀντιπέρας Γαλατίας, καὶ μάχαις
to the island from the opposite Gaul and in-battles
πολλαῖς κακώσας τοὺς πολεμίους μᾶλλον ἢ τοὺς ἰδίους
many having-harmed the enemy rather than the own
ὠφελήσας, οὐδὲν γὰρ ὅ τι καὶ λαβεῖν ἦν ἄξιον ἀπ᾽
having-benefited nothing for what ever even to-take was worth from
ἀνθρώπων κακοβίων καὶ πενήτων, οὐχ οἷον ἐβούλετο τῷ
men wretched and poor not such-as he-wished on-the
πολέμῳ τέλος ἐπέθηκεν, ἀλλ᾽ ὁμήρους λαβὼν παρὰ τοῦ
war an-end he-put but hostages having-taken from the
βασιλέως καὶ ταξάμενος φόρους ἀπῆρεν ἐκ τῆς νήσου.
king and having-assessed tributes he-departed from the island

Καὶ καταλαμβάνει γράμματα μέλλοντα διαπλεῖν πρὸς αὐτὸν
and finds letters about to-sail-across to him
ἀπὸ τῶν ἐν Ῥώμῃ φίλων, δηλοῦντα τὴν τῆς θυγατρὸς αὐτοῦ
from the in Rome friends showing the of-the daughter his
τελευτήν· τελευτᾷ δὲ τίκτουσα παρὰ Πομπηΐῳ. καὶ
death she-dies and giving-birth in-the-house-of Pompey and
μέγα μὲν αὐτὸν ἔσχε Πομπήϊον, μέγα δὲ Καίσαρα πένθος,
great indeed him held Pompey great and Caesar grief
οἱ δὲ φίλοι συνεταράχθησαν ὡς τῆς ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ
the and friends were-troubled as the in peace and concord
τἆλλα νοσοῦσαν τὴν πολιτείαν φυλαττούσης οἰκειότητος
in-other-respects ailing the state preserving kinship
λελυμένης· καὶ γὰρ τὸ βρέφος εὐθὺς οὐ πολλὰς ἡμέρας
having-been-dissolved also for the infant at-once not many days
μετὰ τὴν μητέρα διαζῆσαν ἐτελεύτησε. τὴν μὲν οὖν
after the mother having-survived died — indeed then
Ἰουλίαν βίᾳ τῶν δημάρχων ἀράμενον τὸ πλῆθος εἰς
Julia in-defiance of-the tribunes having-taken-up the multitude into
τὸ Ἄρειον ἤνεγκε πεδίον, κἀκεῖ κηδευθεῖσα κεῖται.
the of-Mars carried field and-there buried she-lies

VII · AMBIORIX, VERCINGETORIX, AND ALESIA

With Caesar's army in scattered winter quarters, Ambiorix destroys Cotta and Titurius and besieges Cicero, whom Caesar relieves by luring the Gauls against a fortified camp. Then all Gaul rises under Vercingetorix. Caesar crosses the snows, the Aedui defect, and he wins a hard battle marching toward the Sequani; the Arverni later hang a sword taken from him in a temple. At Alesia he defeats a relieving army of three hundred thousand behind double walls, and Vercingetorix surrenders at his feet.

Τοῦ δὲ Καίσαρος μεγάλην ἤδη τὴν δύναμιν οὖσαν εἰς 24
— and of-Caesar great already the force being into
πολλὰ κατ᾽ ἀνάγκην χειμάδια διελόντος, αὐτοῦ δὲ πρὸς
many by necessity winter-quarters having-divided himself and toward
τὴν Ἰταλίαν, ὥσπερ εἰώθει, τραπομένου, πάντα μὲν αὖθις
— Italy as he-was-wont having-turned all indeed again
ἀνερρήγνυτο τὰ τῶν Γαλατῶν, καὶ στρατοὶ μεγάλοι
broke-out the(-affairs) of-the Gauls and armies great
περιϊόντες ἐξέκοπτον τὰ χειμάδια καὶ προσεμάχοντο τοῖς
going-about cut-off the winter-quarters and attacked the
χαρακώμασι τῶν Ῥωμαίων, οἱ δὲ πλεῖστοι καὶ κράτιστοι
entrenchments of-the Romans the and most and strongest
τῶν ἀποστάντων μετὰ Ἀβριόριγος Κόττα μὲν αὐτῷ
of-the rebels with Ambiorix Cotta indeed with-very
στρατοπέδῳ καὶ Τιτύριον διέφθειραν, τὸ δὲ ὑπὸ Κικέρωνι
camp and Titurius destroyed the and under Cicero
τάγμα μυριάσιν ἓξ περισχόντες ἐπολιόρκουν καὶ μικρὸν
legion with-ten-thousands six having-surrounded besieged and little
ἀπέλιπον ἡρηκέναι κατὰ κράτος, συντετρωμένων ἁπάντων
lacked to-have-taken by storm wounded all
καὶ παρὰ δύναμιν ὑπὸ προθυμίας ἀμυνομένων.
and beyond strength from zeal defending-themselves
Ὡς δὲ ἠγγέλθη ταῦτα τῷ Καίσαρι μακρὰν ὄντι, ταχέως
when and were-reported these-things — to-Caesar far being quickly
ἐπιστρέψας καὶ συναγαγὼν ἑπτακισχιλίους τοὺς σύμπαντας
having-turned and having-gathered seven-thousand the all
ἠπείγετο τὸν Κικέρωνα τῆς πολιορκίας ἐξαιρησόμενος.
he-hastened — Cicero from-the siege going-to-deliver
τοὺς δὲ πολιορκοῦντας οὐκ ἔλαθεν, ἀλλ᾽ ἀπήντων ὡς
the and besiegers not escaped(-it) but went-to-meet(-him) as
ἀναρπασόμενοι, τῆς ὀλιγότητος καταφρονήσαντες. κἀκεῖνος
going-to-snatch-up(-him) the fewness having-despised and-he

ἐξαπατῶν ὑπέφευγεν ἀεί, καὶ χωρία λαβὼν ἐπιτηδείως
deceiving withdrew always and places having-taken suitably
ἔχοντα πρὸς πολλοὺς μαχομένῳ μετ᾽ ὀλίγων φράγνυται
being for many fighting with few fortifies
στρατόπεδον, καὶ μάχης ἔσχε τοὺς ἑαυτοῦ πάσης,
a-camp and from-battle kept the his-own all
ἀναγαγεῖν δὲ τὸν χάρακα καὶ τὰς πύλας ἀνοικοδομεῖν ὡς
to-raise but the palisade and the gates to-build-up as
δεδοικότας ἠνάγκαζε, καταφρονηθῆναι στρατηγῶν, μέχρι
having-feared he-compelled(-them) to-be-despised contriving until
οὗ σποράδην ὑπὸ θράσους προσβάλλοντας ἐπεξελθὼν
which scattered from boldness attacking having-sallied-out
ἐτρέψατο καὶ πολλοὺς αὐτῶν διέφθειρε.
he-routed and many of-them destroyed
25 Τοῦτο τὰς πολλὰς ἀποστάσεις τῶν ἐνταῦθα Γαλατῶν
this the many revolts of-the there Gauls
κατεστόρεσε, καὶ τοῦ χειμῶνος αὐτὸς ἐπιφοιτῶν τε
quelled and of-the winter he going-about both
πανταχόσε καὶ προσέχων ὀξέως τοῖς νεωτερισμοῖς. καὶ
everywhere and attending sharply to-the uprisings and
γὰρ ἦκεν ἐξ Ἰταλίας ἀντὶ τῶν ἀπολωλότων αὐτῷ τρία
for came from Italy instead-of the lost to-him three
τάγματα, Πομπηΐου μὲν ἐκ τῶν ὑφ᾽ αὐτῷ δύο χρήσαντος,
legions of-Pompey indeed from those under him two having-lent
ἓν δὲ νεοσύλλεκτον ἐκ τῆς περὶ Πάδον Γαλατίας. πόρρω
one and newly-raised from the around Padus Gaul far-off
δὲ τούτων αἱ πάλαι καταβεβλημέναι κρύφα καὶ νεμόμεναι
and from-these the long-ago laid secretly and spread
διὰ τῶν δυνατωτάτων ἀνδρῶν ἐν τοῖς μαχιμωτάτοις
through the most-powerful men among the most-warlike
γένεσιν ἀρχαὶ τοῦ μεγίστου καὶ κινδυνωδεστάτου τῶν ἐκεῖ
tribes beginnings of-the greatest and most-dangerous of-the there

πολέμων ἀνεφαίνοντο, ῥωσθεῖσαι πολλῇ μὲν ἡλικίᾳ καὶ
wars appeared strengthened by-much indeed youth and
πανταχόθεν ὅπλοις ἀθροισθείσῃ, μεγάλοις δὲ πλούτοις εἰς
from-everywhere in-arms gathered by-great and wealth into
ταὐτὸ συνενεχθεῖσιν, ἰσχυραῖς δὲ πόλεσι, δυσεμβόλοις
the-same(-place) collected by-strong and cities by-hard-to-invade
δὲ χώραις. τότε δὲ καὶ χειμῶνος ὥρᾳ πάγοι ποταμῶν
and lands then and also of-winter in-season freezings of-rivers
καὶ νιφετοῖς ἀποκεκρυμμένοι δρυμοὶ καὶ πεδία χειμάρροις
and by-snows hidden forests and plains by-torrents
ἐπιλελιμνασμένα, καὶ πῇ μὲν ἀτέκμαρτοι βάθει
flooded and in-places indeed untraceable by-depth
χιόνος ἀτραποί, πῇ δὲ δι᾽ ἑλῶν καὶ ῥευμάτων
of-snow paths in-places and through marshes and streams
παρατρεπομένων ἀσάφεια πολλὴ τῆς πορείας παντάπασιν
turned-aside obscurity great of-the march altogether
ἐδόκουν ἀνεπιχείρητα Καίσαρι τὰ τῶν ἀφισταμένων
seemed unassailable for-Caesar the(-plans) of-the rebels
ποιεῖν. ἀφειστήκει μὲν οὖν πολλὰ φῦλα, πρόσχημα δὲ
to-make had-revolted indeed then many tribes front and
ἦσαν Ἀρβέρνοι καὶ Καρνουτῖνοι, τὸ δὲ σύμπαν αἱρεθεὶς
were Arverni and Carnutes the and whole having-been-chosen
κράτος εἶχε τοῦ πολέμου Οὐεργεντόριξ, οὗ τὸν πατέρα
power had of-the war Vercingetorix whose the father
Γαλάται τυραννίδα δοκοῦντα πράττειν ἀπέκτειναν.
Gauls tyranny seeming to-aim-at killed
Οὗτος οὖν εἰς πολλὰ διελὼν τὴν δύναμιν μέρη καὶ 26
this-man then into many having-divided the force parts and
πολλοὺς ἐπιστήσας ἡγεμόνας ᾠκειοῦτο τὴν πέριξ ἅπασαν
many having-set-over commanders won-over the round-about all
ἄχρι τῶν πρὸς τὸν Ἄραρα κεκλιμένων, διανοούμενος
as-far-as those toward the Arar sloping intending

ἤδη τῶν ἐν Ῥώμῃ συνισταμένων ἐπὶ Καίσαρα σύμπασαν
already those in Rome combining against Caesar the-whole
ἐγείρειν τῷ πολέμῳ Γαλατίαν. ὅπερ εἰ μικρὸν ὕστερον
to-rouse to-the war Gaul which-very if a-little later
ἔπραξε, Καίσαρος εἰς τὸν ἐμφύλιον ἐμπεσόντος πόλεμον,
he-had-done Caesar into the civil having-fallen war
οὐκ ἂν ἐλαφρότεροι τῶν Κιμβρικῶν ἐκείνων φόβοι τὴν
not — lighter than-the Cimbric those terrors —
Ἰταλίαν κατέσχον. νυνὶ δὲ ὁ πᾶσι μὲν ἄριστα χρῆσθαι
Italy would-have-gripped now but the in-all indeed best to-use
τοῖς πρὸς πόλεμον, μάλιστα δὲ καιρῷ πεφυκὼς Καῖσαρ
the(-means) for war most but opportunity gifted Caesar
ἅμα τῷ πυθέσθαι τὴν ἀπόστασιν ἄρας ἐχώρει ταῖς
at-once with-the learning the revolt having-set-out went by-the
αὐταῖς ὁδοῖς ἃς διῆλθε, καὶ βίᾳ καὶ τάχει τῆς πορείας
same roads which he-had-traversed and by-force and speed of-the march
διὰ τοσούτου χειμῶνος ἐπιδειξάμενος τοῖς βαρβάροις
through so-great a-winter having-shown to-the barbarians
ὡς ἄμαχος αὐτοῖς καὶ ἀήττητος ἔπεισι στρατός. ὅπου
that invincible against-them and unconquered is-coming an-army where
γὰρ ἄγγελον ἢ γραμματοφόρον διαδῦναι τῶν παρ᾽
for a-messenger or letter-carrier to-slip-through of-those from
αὐτοῦ χρόνῳ πολλῷ ἦν ἄπιστον, ἐνταῦθα μετὰ πάσης
him in-time much was incredible there with all
ἑωρᾶτο τῆς στρατιᾶς ἅμα χώρας λυμαινόμενος αὐτῶν καὶ
he-was-seen the army at-once lands ravaging their and
ἐκκόπτων τὰ χωρία, καταστρεφόμενος πόλεις, ἀναλαμβάνων
destroying the strongholds subduing cities receiving
τοὺς μετατιθεμένους, μέχρι καὶ τὸ τῶν Ἐδούων ἔθνος
those changing-sides until even the of-the Aedui nation
ἐξεπολεμώθη πρὸς αὐτόν, οἳ τὸν ἄλλον χρόνον ἀδελφοὺς
went-to-war against him who the other time brothers

ἀναγορεύοντες αὑτοὺς Ῥωμαίων καὶ τιμώμενοι διαπρεπῶς,
proclaiming themselves of-Romans and honored conspicuously
τότε δὲ τοῖς ἀποστάταις προσγενόμενοι πολλὴν τῇ
then but to-the rebels having-joined great in-the
Καίσαρος στρατιᾷ περιέστησαν ἀθυμίαν. διόπερ καὶ
of-Caesar army caused despondency wherefore also
κινήσας ἐκεῖθεν ὑπερέβαλε τὰ Λιγγονικά, βουλόμενος
having-moved from-there he-crossed the Lingonian(-territory) wishing
ἅψασθαι τῆς Σηκουανῶν φίλων ὄντων καὶ προκειμένων
to-reach the(-land) of-Sequani friends being and lying-before
τῆς Ἰταλίας πρὸς τὴν ἄλλην Γαλατίαν. ἐνταῦθα δὲ
— of-Italy toward the rest-of Gaul there and
αὐτῷ τῶν πολεμίων ἐπιπεσόντων καὶ περισχόντων
on-him the enemy having-fallen and having-surrounded(-him)
μυριάσι πολλαῖς, ὁρμήσας διαγωνίσασθαι τοῖς μὲν
with-ten-thousands many having-pressed-on to-fight-it-out in-the indeed
ὅλοις καταπολεμῶν ἐκράτησε, χρόνῳ πολλῷ καὶ φόνῳ
whole warring prevailed in-time much and slaughter
καταβιασάμενος τοὺς βαρβάρους, ἔδοξε δὲ κατ᾽ ἀρχάς
having-overpowered the barbarians he-seemed and at first
τι καὶ σφαλῆναι, καὶ δεικνύουσιν Ἀρβέρνοι ξιφίδιον
somewhat also to-have-been-worsted and show Arverni a-small-sword
πρὸς ἱερῷ κρεμάμενον, ὡς δὴ Καίσαρος λάφυρον.
at a-temple hanging as indeed of-Caesar spoil
ὃ θεασάμενος αὐτὸς ὕστερον ἐμειδίασε, καὶ τῶν φίλων
which having-seen himself later smiled and the friends
καθελεῖν κελευόντων οὐκ εἴασεν, ἱερὸν ἡγούμενος.
to-take-it-down bidding not he-allowed sacred considering(-it)
Οὐ μὴν ἀλλὰ τότε τῶν διαφυγόντων οἱ πλεῖστοι 27
not indeed but then of-the having-escaped the most
μετὰ τοῦ βασιλέως εἰς πόλιν Ἀλησίαν συνέφυγον. καὶ
with the king into a-city Alesia fled-together and

πολιορκοῦντι ταύτην Καίσαρι δοκοῦσαν ἀνάλωτον εἶναι
besieging this Caesar seeming impregnable to-be
μεγέθει τε τειχῶν καὶ πλήθει τῶν ἀπομαχομένων
by-size both of-walls and by-number of-the defenders
ἐπιπίπτει παντὸς λόγου μείζων κίνδυνος ἔξωθεν. ὃ γὰρ
falls-upon every reckoning greater danger from-outside what for
ἦν ἐν Γαλατίᾳ κράτιστον ἀπὸ τῶν ἐθνῶν ἀθροισθέν, ἐν
was in Gaul strongest from the nations gathered in
ὅπλοις ἦκον ἐπὶ τὴν Ἀλησίαν τριάκοντα μυριάδες· αἱ δ'
arms came to — Alesia thirty ten-thousands the and
ἐν αὐτῇ τῶν μαχομένων οὐκ ἐλάττονες ἦσαν ἑπτακαίδεκα
in it of-the fighting not fewer were than-seventeen
μυριάδων, ὥστε ἐν μέσῳ πολέμου τοσούτου τὸν Καίσαρα
ten-thousands so-that in midst of-war so-great — Caesar
κατειλημμένον καὶ πολιορκούμενον ἀναγκασθῆναι διττὰ
caught and besieged to-be-compelled double
τείχη προβαλέσθαι, τὸ μὲν πρὸς τὴν πόλιν, τὸ δὲ ἀπὸ
walls to-throw-up the one toward the city the other against
τῶν ἐπεληλυθότων, ὡς, εἰ συνέλθοιεν αἱ δυνάμεις, κομιδῇ
those having-come since if they-joined the forces utterly
διαπεπραγμένων τῶν καθ' αὑτόν.
finished the(-affairs) concerning himself
Διὰ πολλὰ μὲν οὖν εἰκότως ὁ πρὸς Ἀλησίᾳ κίνδυνος ἔσχε
for many indeed then fittingly the at Alesia danger won
δόξαν, ὡς ἔργα τόλμης καὶ δεινότητος οἷα τῶν ἄλλων
fame as deeds of-daring and of-skill such-as of-the other
ἀγώνων οὐδεὶς παρασχόμενος, μάλιστα δὲ ἄν τις θαυμάσειε
struggles none having-furnished most and — one would-wonder-at
τὸ λαθεῖν τοὺς ἐν τῇ πόλει Καίσαρα τοσαύταις
the to-have-escaped-notice-of those in the city Caesar with-so-many
μυριάσι ταῖς ἔξω συμβαλόντα καὶ περιγενόμενον, μᾶλλον
ten-thousands the outside having-engaged and having-prevailed more

δὲ καὶ τῶν Ῥωμαίων τοὺς τὸ πρὸς τῇ πόλει τεῖχος
and even of-the Romans those the at the city wall
φυλάττοντας. οὐ γὰρ πρότερον ᾔσθοντο τὴν νίκην ἢ
guarding not for sooner they-perceived the victory than
κλαυθμὸν ἐκ τῆς Ἀλησίας ἀνδρῶν καὶ κοπετὸν γυναικῶν
wailing from — Alesia of-men and beating-of-breasts of-women
ἀκουσθῆναι, θεασαμένων ἄρα κατὰ θάτερα μέρη πολλοὺς
to-be-heard having-seen then on the-other side many
μὲν ἀργύρῳ καὶ χρυσῷ κεκοσμημένους θυρεούς, πολλοὺς
indeed with-silver and gold adorned shields many
δὲ αἵματι πεφυρμένους θώρακας, ἔτι δ' ἐκπώματα καὶ
and with-blood stained breastplates still and cups and
σκηνὰς Γαλατικὰς ὑπὸ τῶν Ῥωμαίων εἰς τὸ στρατόπεδον
tents Gallic by the Romans into the camp
κομιζομένας. οὕτως ὀξέως ἡ τοσαύτη δύναμις, ὥσπερ
being-carried so swiftly the so-great force like
εἴδωλον ἢ ὄνειρον, ἠφάνιστο καὶ διεπεφόρητο, τῶν πλείστων
a-phantom or dream had-vanished and had-been-scattered the most
ἐν τῇ μάχῃ πεσόντων. οἱ δὲ τὴν Ἀλησίαν ἔχοντες
in the battle having-fallen those and — Alesia holding
οὐκ ὀλίγα πράγματα παρασχόντες ἑαυτοῖς καὶ Καίσαρι
not few troubles having-caused to-themselves and to-Caesar
τέλος παρέδοσαν ἑαυτούς, ὁ δὲ τοῦ σύμπαντος ἡγεμὼν
finally surrendered themselves the and of-the whole leader
πολέμου Οὐεργεντόριξ ἀναλαβὼν τῶν ὅπλων τὰ κάλλιστα
war Vercingetorix having-put-on of-the arms the most-beautiful
καὶ κοσμήσας τὸν ἵππον ἐξιππάσατο διὰ τῶν πυλῶν·
and having-adorned the horse rode-out through the gates
καὶ κύκλῳ περὶ τὸν Καίσαρα καθεζόμενον ἐλάσας, εἶτα
and in-a-circle around — Caesar seated having-ridden then
ἀφαλόμενος τοῦ ἵππου τὴν μὲν πανοπλίαν ἀπέρριψεν,
having-leapt-down from-the horse the indeed armor he-flung-off

αὐτὸς δὲ καθίσας ὑπὸ πόδας τοῦ Καίσαρος ἡσυχίαν ἦγεν,
he and having-sat at feet — of-Caesar quiet kept
ἄχρι οὗ παρεδόθη φρουρησόμενος ἐπὶ τὸν θρίαμβον.
until which he-was-handed-over to-be-guarded for the triumph

VIII · THE BREAK WITH POMPEY

Crassus' death leaves Caesar and Pompey rivals. Rome sinks into bribery and anarchy, and Pompey is made sole consul. Caesar seeks a consulship and longer command; Marcellus flogs a councilor of his colony, and Caesar buys Curio and Paulus. Pompey reclaims his lent soldiers, whose officers mislead him about Caesar's army. The senate agrees that both should disarm, but Scipio and Lentulus break up the meeting. Caesar offers less and Cicero mediates, but Lentulus drives Antony and Curio from the senate, and they flee disguised as slaves.

28 Καίσαρι δὲ πάλαι μὲν ἐδέδοκτο καταλύειν Πομπήϊον,
to-Caesar and long-since indeed it-had-been-resolved to-destroy Pompey
ὥσπερ ἀμέλει κἀκείνῳ τοῦτον· Κράσσου γὰρ ἐν Πάρθοις
as of-course also-to-him this-one Crassus for among Parthians
ἀπολωλότος, ὃς ἦν ἔφεδρος ἀμφοῖν, ἀπελείπετο τῷ
having-perished who was reserve-fighter for-both it-remained for-the
μὲν ὑπὲρ τοῦ γενέσθαι μεγίστῳ τὸν ὄντα καταλύειν,
one for the to-become greatest the existing(-one) to-destroy
τῷ δέ, ἵνα μὴ πάθῃ τοῦτο, προαναιρεῖν ὃν ἐδεδοίκει.
for-the other so-that not he-suffer this to-destroy-first whom he-had-feared
τοῦτο δὲ Πομπηΐῳ μὲν ἐξ ὀλίγου φοβεῖσθαι παρέστη
this and for-Pompey indeed from little to-fear it-occurred
τέως ὑπερορῶντι Καίσαρος, ὡς οὐ χαλεπὸν ἔργον ὄν
hitherto disregarding Caesar as not hard a-task whom
αὐτὸς ηὔξησε καταλυθῆναι πάλιν ὑπ' αὐτοῦ, Καῖσαρ
he had-increased to-be-destroyed again by him Caesar

δὲ ἀπ᾽ ἀρχῆς ὑπόθεσιν ταύτην πεποιημένος, ἀπὸ τῶν
but from beginning plan this having-made from the
ἀνταγωνιστῶν ὥσπερ ἀθλητὴς ἑαυτὸν ἀποστήσας μακρὰν
antagonists like an-athlete himself having-removed far
καὶ τοῖς Κελτικοῖς ἐγγυμνασάμενος πολέμοις ἐπήσκησε μὲν
and in-the Gallic having-exercised-himself wars trained indeed
τὴν δύναμιν, ηὔξησε δὲ τὴν δόξαν, ἀπὸ τῶν ἔργων εἰς
the force increased and the glory from the deeds into
ἀντίπαλον ἀρθεὶς τοῖς Πομπηΐου κατορθώμασι, λαμβάνων
rivalry raised to-the of-Pompey successes taking
προφάσεις τὰς μὲν αὐτοῦ Πομπηΐου, τὰς δὲ τῶν καιρῶν
pretexts the some of-himself Pompey the others of-the times
ἐνδιδόντων καὶ τῆς ἐν Ῥώμῃ κακοπολιτείας, δι᾽ ἣν οἱ
giving(-them) and of-the in Rome misgovernment through which the
μὲν ἀρχὰς μετιόντες ἐν μέσῳ θέμενοι τραπέζας ἐδέκαζον
indeed offices seeking in the-midst having-placed tables bribed
ἀναισχύντως τὰ πλήθη, κατῄει δὲ ὁ δῆμος ἔμμισθος,
shamelessly the masses came-down and the people hired
οὐ ψήφοις ὑπὲρ τοῦ δεδωκότος, ἀλλὰ τόξοις καὶ
not with-votes for the(-man) having-given but with-bows and
ξίφεσι καὶ σφενδόναις ἁμιλλώμενος. αἵματι δὲ καὶ νεκροῖς
swords and slings contending with-blood and and corpses
πολλάκις αἰσχύναντες τὸ βῆμα διεκρίθησαν, ἀναρχίᾳ τὴν
often having-defiled the tribunal they-parted in-anarchy the
πόλιν ὥσπερ ἀκυβέρνητον ναῦν ὑποφερομένην ἀπολιπόντες,
city like a-pilotless ship borne-along having-left
ὥστε τοὺς νοῦν ἔχοντας ἀγαπᾶν εἰ πρὸς μηδὲν αὐτοῖς
so-that those sense having to-be-content if to nothing for-them
χεῖρον, ἀλλὰ μοναρχίαν ἐκ τοιαύτης παραφροσύνης καὶ
worse but monarchy out-of such madness and
τοσούτου κλύδωνος ἐκπεσεῖται τὰ πράγματα. πολλοὶ δὲ
so-great a-surge will-issue the affairs many and

ἦσαν οἱ καὶ λέγειν ἐν μέσῳ τολμῶντες ἤδη πλὴν
were who even to-say in public daring already except
ὑπὸ μοναρχίας ἀνήκεστον εἶναι τὴν πολιτείαν, καὶ τὸ
by monarchy incurable to-be the state and the
φάρμακον τοῦτο χρῆναι τοῦ πραοτάτου τῶν ἰατρῶν
medicine this it-is-needful the mildest of-the physicians
ἀνασχέσθαι προσφέροντος, ὑποδηλοῦντες τὸν Πομπήϊον.
to-accept offering(-it) hinting-at — Pompey
ἐπεὶ δὲ κἀκεῖνος λόγῳ παραιτεῖσθαι καλλωπιζόμενος
when and also-he in-word to-decline pretending
ἔργῳ παντὸς μᾶλλον ἐπέραινεν ἐξ ὧν ἀναδειχθήσοιτο
in-deed everything rather accomplished from which he-would-be-appointed
δικτάτωρ, συμφρονήσαντες οἱ περὶ Κάτωνα πείθουσι τὴν
dictator having-concerted those around Cato persuade the
γερουσίαν ὕπατον αὐτὸν ἀποδεῖξαι μόνον, ὡς μὴ βιάσαιτο
senate consul him to-appoint sole so-that not he-might-force
δικτάτωρ γενέσθαι, νομιμωτέρᾳ μοναρχίᾳ παρηγορηθείς. οἱ
dictator to-become by-a-more-lawful monarchy soothed they
δὲ καὶ χρόνον ἐπεψηφίσαντο τῶν ἐπαρχιῶν· δύο δὲ εἶχεν,
and also time voted-in-addition of-the provinces two and he-had
Ἰβηρίαν καὶ Λιβύην σύμπασαν, ἃς διῴκει πρεσβευτὰς
Iberia and Libya whole which he-administered legates
ἀποστέλλων καὶ στρατεύματα τρέφων, οἷς ἐλάμβανεν ἐκ
sending and armies maintaining for-which he-received from
τοῦ δημοσίου ταμιείου χίλια τάλαντα καθ' ἕκαστον ἐνιαυτόν.
the public treasury thousand talents for each year
29 Ἐκ τούτου Καῖσαρ ὑπατείαν ἐμνᾶτο πέμπων, καὶ
from this Caesar a-consulship sought sending(-agents) and
χρόνον ὁμοίως τῶν ἰδίων ἐπαρχιῶν. τὸ μὲν οὖν πρῶτον
an-extension likewise of-the own provinces at-the indeed then first
Πομπηΐου σιωπῶντος οἱ περὶ Μάρκελλον καὶ Λέντλον
Pompey being-silent those around Marcellus and Lentulus

ἠναντιοῦντο, μισοῦντες ἄλλως Καίσαρα καὶ τοῖς ἀναγκαίοις
opposed(-it) hating otherwise Caesar and to-the necessary
οὐκ ἀναγκαῖα προστιθέντες εἰς ἀτιμίαν αὐτοῦ καὶ
not necessary(-things) adding for dishonor of-him and
προπηλακισμόν. Νεοκωμίτας γὰρ ἔναγχος ὑπὸ Καίσαρος
insult the-Neocomitae for lately by Caesar
ἐν Γαλατίᾳ κατῳκισμένους ἀφῃροῦντο τῆς πολιτείας·
in Gaul settled they-deprived of-the citizenship
καὶ Μάρκελλος ὑπατεύων ἕνα τῶν ἐκεῖ βουλευτῶν εἰς
and Marcellus being-consul one of-the there councilors to
Ῥώμην ἀφικόμενον ᾑκιστο ῥάβδοις, ἐπιλέγων ὡς ταῦτα
Rome having-come flogged with-rods adding that these
τοῦ μὴ Ῥωμαῖον εἶναι παράσημα προστίθησιν αὐτῷ, καὶ
of-the not Roman to-be marks he-puts-on him and
δεικνύειν ἀπιόντα Καίσαρι ἐκέλευε. μετὰ δὲ Μάρκελλον,
to-show(-them) going-away to-Caesar he-bade after and Marcellus
ἤδη Καίσαρος τὸν Γαλατικὸν πλοῦτον ἀρύεσθαι ῥύδην
already Caesar the Gallic wealth to-draw-upon in-streams
ἀφεικότος πᾶσι τοῖς πολιτευομένοις, καὶ Κουρίωνα μὲν
having-allowed to-all the politicians and Curio indeed
δημαρχοῦντα πολλῶν ἐλευθερώσαντος δανείων, Παύλῳ δὲ
being-tribune from-many having-freed debts to-Paulus and
ὑπατεύοντι χίλια καὶ πεντακόσια τάλαντα δόντος, ἀφ' ὧν
being-consul thousand and five-hundred talents having-given from which
καὶ τὴν βασιλικὴν ἐκεῖνος, ὀνομαστὸν ἀνάθημα, τῇ ἀγορᾷ
also the basilica he famous monument to-the forum
προσεκόσμησεν ἀντὶ τῆς Φουλβίας οἰκοδομηθεῖσαν, οὕτω
added instead-of the Fulvian built thus
δὴ φοβηθεὶς τὴν σύστασιν ὁ Πομπήϊος ἀναφανδὸν ἤδη
indeed having-feared the coalition — Pompey openly already
δι' ἑαυτοῦ καὶ τῶν φίλων ἔπραττεν ἀποδειχθῆναι διάδοχον
through himself and the friends worked to-be-appointed a-successor

Καίσαρι τῆς ἀρχῆς, καὶ πέμπων ἀπῄτει τοὺς στρατιώτας
to-Caesar of-the command and sending demanded-back the soldiers
οὓς ἔχρησεν αὐτῷ πρὸς τοὺς Κελτικοὺς ἀγῶνας. ὁ δὲ
whom he-lent to-him for the Gallic struggles he and
ἀποπέμπει, δωρησάμενος ἕκαστον ἄνδρα πεντήκοντα καὶ
sends(-them)-back having-rewarded each man fifty and
διακοσίαις δραχμαῖς. οἱ δὲ τούτους Πομπηΐῳ κομίσαντες
two-hundred drachmas those and these to-Pompey having-brought
εἰς μὲν τὸ πλῆθος οὐκ ἐπιεικεῖς οὐδὲ χρηστοὺς κατέσπειραν
into indeed the multitude not reasonable nor good sowed
λόγους ὑπὲρ τοῦ Καίσαρος, αὐτὸν δὲ Πομπήϊον ἐλπίσι κεναῖς
reports about — Caesar himself and Pompey with-hopes empty
διέφθειραν, ὡς ποθούμενον ὑπὸ τῆς Καίσαρος στρατιᾶς καὶ
corrupted that longed-for by the of-Caesar army and
τὰ μὲν ἐνταῦθα διὰ φθόνον πολιτείας ὑπούλου μόλις
the indeed here because-of envy of-a-state festering barely
ἔχοντα, τῆς δὲ ἐκεῖ δυνάμεως ἑτοίμης ὑπαρχούσης αὐτῷ, κἂν
holding the but there force ready being for-him and-if
μόνον ὑπερβάλωσιν εἰς Ἰταλίαν εὐθὺς ἐσομένης πρὸς ἐκεῖνον·
only they-cross into Italy at-once being(-his) toward him
οὕτως γεγονέναι τὸν Καίσαρα πλήθει στρατειῶν λυπηρὸν
so to-have-become — Caesar by-the-multitude of-campaigns burdensome
αὐτοῖς καὶ φόβῳ μοναρχίας ὕποπτον. ἐπὶ τούτοις Πομπήϊος
to-them and from-fear of-monarchy suspected at these Pompey
ἐχαυνοῦτο· καὶ παρασκευῆς μὲν ἠμέλει στρατιωτῶν, ὡς μὴ
was-puffed-up and of-preparation indeed neglected of-soldiers as not
δεδοικώς, λόγοις δὲ καὶ γνώμαις κατεπολιτεύετο τῷ δοκεῖν
fearing by-speeches but and resolutions he-politically-opposed in-the seeming
Καίσαρα, καταψηφιζόμενος ὧν ἐκεῖνος οὐδὲν ἐφρόντιζεν·
Caesar voting-down what he nothing cared-for
ἀλλὰ καὶ λέγεταί τινα τῶν ἀφιγμένων παρ᾽ αὐτοῦ ταξιάρχων
but also is-said one of-the having-come from him centurions

ἑστῶτα πρὸ τοῦ βουλευτηρίου καὶ πυθόμενον ὡς οὐ δίδωσιν
standing before the senate-house and having-learned that not grants
ἡ γερουσία Καίσαρι χρόνον τῆς ἀρχῆς, "Ἀλλ' αὕτη" φάναι
the senate to-Caesar time of-the command but this to-say
"δώσει," κρούσαντα τῇ χειρὶ τὴν λαβὴν τῆς μαχαίρας.
will-give(-it) striking with-the hand the hilt of-the sword
Οὐ μὴν ἀλλ' ἥ γε παρὰ Καίσαρος ἀξίωσις τὸ 30
not indeed but the at-least from Caesar demand the
πρόσχημα τῆς δικαιολογίας λαμπρὸν εἶχεν. ἠξίου γὰρ
appearance of-the justice brilliant had he-proposed for
αὐτός τε καταθέσθαι τὰ ὅπλα, καὶ Πομπηΐου ταὐτὸ
he both to-lay-down the arms and Pompey the-same
πράξαντος ἀμφοτέρους ἰδιώτας γενομένους εὑρίσκεσθαί
having-done both private-men having-become to-obtain
τι παρὰ τῶν πολιτῶν ἀγαθόν, ὡς τοὺς αὐτὸν μὲν
something from the citizens good since those him indeed
ἀφαιρουμένους, ἐκείνῳ δὲ ἣν εἶχε βεβαιοῦντας δύναμιν,
depriving to-that-one but what he-had confirming power
ἕτερον διαβάλλοντας ἕτερον κατασκευάζειν τύραννον. ταῦτα
one denouncing another to-be-setting-up as-tyrant these-things
προκαλούμενος ἐν τῷ δήμῳ Κουρίων ὑπὲρ Καίσαρος
proposing in the people Curio for Caesar
ἐκροτεῖτο λαμπρῶς· οἱ δὲ καὶ στεφάνους ἐπ' αὐτὸν ὥσπερ
was-applauded splendidly the and even garlands at him as-at
ἀθλητὴν ἀνθοβολοῦντες ἠφίεσαν. Ἀντώνιος δὲ δημαρχῶν
an-athlete pelting-with-flowers threw Antony and being-tribune
Καίσαρος ὑπὲρ τούτων ἐπιστολὴν κομισθεῖσαν εἰς τὸ
of-Caesar about these-things a-letter brought to the
πλῆθος ἐξήνεγκε καὶ ἀνέγνω βίᾳ τῶν ὑπάτων. ἐν δὲ
multitude brought-out and read by-force-against the consuls in but
τῇ βουλῇ Σκηπίων μὲν ὁ Πομπηΐου πενθερὸς εἰσηγήσατο
the senate Scipio indeed the of-Pompey father-in-law introduced

γνώμην, ἂν ἐν ἡμέρᾳ ῥητῇ μὴ κατάθηται τὰ ὅπλα
a-motion if on day stated not he-lays-down the arms
Καῖσαρ, ἀποδειχθῆναι πολέμιον αὐτόν. ἐρωτώντων δὲ τῶν
Caesar to-be-declared public-enemy him asking and the
ὑπάτων εἰ δοκεῖ Πομπήϊον ἀφεῖναι τοὺς στρατιώτας,
consuls whether it-seems-good Pompey to-dismiss the soldiers
καὶ πάλιν, εἰ δοκεῖ Καίσαρα, τῇ μὲν ὀλίγοι
and again whether it-seems-good Caesar to-the one few
παντάπασι, τῇ δὲ πάντες παρ' ὀλίγους προσέθεντο· τῶν
altogether to-the other all except few sided the
δὲ περὶ Ἀντώνιον πάλιν ἀξιούντων ἀμφοτέρους τὴν ἀρχὴν
and around Antony again claiming both the command
ἀφεῖναι, πάντες ὁμαλῶς προσεχώρησαν. ἀλλὰ ἐκβιαζομένου
to-lay-down all equally came-over but forcing
Σκηπίωνος, καὶ Λέντλου τοῦ ὑπάτου βοῶντος ὅπλων δεῖν
Scipio and Lentulus the consul shouting of-arms need
πρὸς ἄνδρα λῃστήν, οὐ ψήφων, τότε μὲν διελύθησαν καὶ
against a-man a-robber not of-votes then indeed they-broke-up and
μετεβάλοντο τὰς ἐσθῆτας ἐπὶ πένθει διὰ τὴν στάσιν.
changed the clothes for mourning because-of the faction
31 Ἐπεὶ δὲ παρὰ Καίσαρος ἦκον ἐπιστολαὶ μετριάζειν δοκοῦντος
when and from Caesar came letters to-be-moderate seeming
(ἠξίου γὰρ ἀφεὶς τὰ ἄλλα πάντα τὴν ἐντὸς Ἄλπεων καὶ
he-asked for having-given-up the other all the within Alps and
τὸ Ἰλλυρικὸν μετὰ δυεῖν ταγμάτων αὐτῷ δοθῆναι, μέχρι οὗ
— Illyricum with two legions to-him to-be-given until which
τὴν δευτέραν ὑπατείαν μέτεισι), καὶ Κικέρων ὁ ῥήτωρ
the second consulship he-will-stand-for and Cicero the orator
ἄρτι παρὼν ἐκ Κιλικίας καὶ διαλλαγὰς πράττων ἐμάλαττε
just-now present from Cilicia and reconciliation working-for softened
τὸν Πομπήϊον, ὁ δὲ τἆλλα συγχωρῶν τοὺς στρατιώτας
— Pompey he and the-rest conceding the soldiers

ἀφῄρει. καὶ Κικέρων μὲν ἔπειθε τοὺς Καίσαρος φίλους
was-taking-away and Cicero indeed persuaded the of-Caesar friends
συνενδόντας ἐπὶ ταῖς εἰρημέναις ἐπαρχίαις καὶ στρατιώταις
conceding-together on the stated provinces and soldiers
μόνοις ἑξακισχιλίοις ποιεῖσθαι τὰς διαλύσεις, Πομπηΐου δὲ
only six-thousand to-make the settlement Pompey and
καμπτομένου καὶ διδόντος οἱ περὶ Λέντλον οὐκ εἴων
bending and giving-way those around Lentulus not allowed
ὑπατεύοντες, ἀλλὰ καὶ τῆς βουλῆς Ἀντώνιον καὶ Κουρίωνα
being-consuls but also from-the senate Antony and Curio
προπηλακίσαντες ἐξήλασαν ἀτίμως, τὴν εὐπρεπεστάτην
having-insulted drove(-them)-out dishonorably the most-specious
Καίσαρι τῶν προφάσεων αὐτοὶ μηχανησάμενοι, καὶ δι᾽
for-Caesar of-the pretexts themselves having-contrived and by
ἧς μάλιστα τοὺς στρατιώτας παρώξυνεν, ἐπιδεικνύμενος
which most the soldiers he-incited showing
ἄνδρας ἐλλογίμους καὶ ἄρχοντας ἐπὶ μισθίων ζευγῶν
men notable and magistrates in hired carts
πεφευγότας ἐν ἐσθῆσιν οἰκετικαῖς. οὕτω γὰρ ἀπὸ Ῥώμης
having-fled in clothes servile thus for from Rome
σκευάσαντες ἑαυτοὺς διὰ φόβον ὑπεξῄεσαν.
having-dressed themselves through fear they-slipped-away

IX · THE RUBICON

With few troops Caesar sends men to seize Ariminum, dines openly, slips away in a hired carriage, hesitates at the Rubicon, and with the words "let the die be cast" crosses; the night before he dreams of lying with his mother. Rome empties in panic, Labienus deserts him, and Domitius, at Corfinium, takes a sleeping draft instead of poison and is pardoned. Pompey escapes from Brundisium, and Caesar seizes the treasury, threatening the tribune Metellus with death.

32 Ἦσαν μὲν οὖν περὶ αὐτὸν οὐ πλείους ἱππέων
were indeed then around him not more than-horsemen
τριακοσίων καὶ πεντακισχιλίων ὁπλιτῶν· τὸ γὰρ ἄλλο
three-hundred and five-thousand hoplites the for other
στράτευμα πέραν Ἄλπεων ἀπολελειμμένον ἔμελλον ἄξειν
army beyond Alps left-behind were-to bring
οἱ πεμφθέντες. ὁρῶν δὲ τὴν ἀρχὴν ὧν ἐνίστατο
those sent seeing and the beginning of-which he-was-undertaking
πραγμάτων καὶ τὴν ἔφοδον οὐ πολυχειρίας δεομένην ἐν
affairs and the attack not of-many-hands needing in
τῷ παρόντι μᾶλλον ἢ θάμβει τε τόλμης καὶ τάχει
the present rather than with-amazement both of-daring and with-speed
καιροῦ καταληπτέαν οὖσαν, ἐκπλήξειν γὰρ ἀπιστούμενος
of-opportunity to-be-seized being to-terrify for being-disbelieved
ῥᾷον ἢ βιάσεσθαι μετὰ παρασκευῆς ἐπελθών, τοὺς
more-easily than to-overpower with preparation having-come the
μὲν ἡγεμόνας καὶ ταξιάρχους ἐκέλευσε μαχαίρας ἔχοντας
indeed commanders and centurions he-ordered swords having
ἄνευ τῶν ἄλλων ὅπλων κατασχεῖν Ἀρίμινον τῆς Κελτικῆς
without the other arms to-seize Ariminum — of-Gaul
μεγάλην πόλιν, ὡς ἐνδέχεται μάλιστα φεισαμένους φόνου
a-great city as is-possible most sparing of-slaughter
καὶ ταραχῆς, Ὁρτησίῳ δὲ τὴν δύναμιν παρέδωκεν.
and confusion to-Hortensius and the force he-handed-over
Αὐτὸς δὲ τὴν μὲν ἡμέραν διῆγεν ἐν φανερῷ μονομάχοις
he and the indeed day spent in public over-gladiators
ἐφεστὼς γυμναζομένοις καὶ θεώμενος· μικρὸν δὲ πρὸ
standing exercising and watching a-little and before
ἑσπέρας θεραπεύσας τὸ σῶμα καὶ παρελθὼν εἰς τὸν
evening having-tended the body and having-gone into the
ἀνδρῶνα καὶ συγγενόμενος βραχέα τοῖς παρακεκλημένοις
men's-hall and having-been-with briefly those invited

ἐπὶ τὸ δεῖπνον, ἤδη συσκοτάζοντος ἐξανέστη, τοὺς μὲν
to the dinner already growing-dark he-rose-up the indeed
ἄλλους φιλοφρονηθεὶς καὶ κελεύσας περιμένειν αὐτὸν ὡς
others having-greeted-kindly and having-bidden to-await him as
ἐπανελευσόμενον, ὀλίγοις δὲ τῶν φίλων προείρητο
going-to-return to-few and of-the friends it-had-been-told-beforehand
μὴ κατὰ τὸ αὐτὸ πάντας, ἄλλον δὲ ἄλλῃ διώκειν.
not by the same(-way) all another and by-another to-follow
αὐτὸς δὲ τῶν μισθίων ζευγῶν ἐπιβὰς ἑνὸς ἤλαυνεν
he and of-the hired carts having-mounted one drove
ἑτέραν τινὰ πρῶτον ὁδόν, εἶτα πρὸς τὸ Ἀρίμινον
another some first road then toward — Ariminum
ἐπιστρέψας, ὡς ἦλθεν ἐπὶ τὸν διορίζοντα τὴν ἐντὸς
having-turned when he-came to the(-river) dividing the within
Ἄλπεων Γαλατίαν ἀπὸ τῆς ἄλλης Ἰταλίας ποταμὸν
Alps Gaul from the rest-of Italy river
(Ῥουβίκων καλεῖται), καὶ λογισμὸς αὐτὸν εἰσῄει μᾶλλον
Rubicon it-is-called and reflection him came-upon more
ἐγγίζοντα τῷ δεινῷ καὶ περιφερόμενον τῷ μεγέθει τῶν
approaching the danger and being-carried-about by-the greatness of-the
τολμωμένων, ἔσχετο δρόμου· καὶ τὴν πορείαν ἐπιστήσας
being-ventured he-checked from-running and the march having-halted
πολλὰ μὲν αὐτὸς ἐν ἑαυτῷ διήνεγκε σιγῇ τὴν γνώμην
much indeed himself in himself he-debated in-silence the resolve
ἐπ᾽ ἀμφότερα μεταλαμβάνων, καὶ τροπὰς ἔσχεν αὐτῷ τότε
to both(-sides) changing and changes had for-him then
τὸ βούλευμα πλείστας· πολλὰ δὲ καὶ τῶν φίλων τοῖς
the plan very-many much and also of-the friends with-those
παροῦσιν, ὧν ἦν καὶ Πολλίων Ἀσίννιος, συνδιηπόρησεν,
present of-whom was also Pollio Asinius he-debated
ἀναλογιζόμενος ἡλίκων κακῶν ἄρξει πᾶσιν ἀνθρώποις
reckoning-up how-great evils it-would-begin for-all men

ἡ διάβασις, ὅσον τε λόγον αὐτῆς τοῖς αὖθις ἀπολείψουσι.
the crossing how-great and account of-it to-those after they-would-leave
τέλος δὲ μετὰ θυμοῦ τινος ὥσπερ ἀφεὶς ἑαυτὸν ἐκ
finally and with passion some as-if having-launched himself from
τοῦ λογισμοῦ πρὸς τὸ μέλλον, καὶ τοῦτο δὴ τὸ κοινὸν
the reflection toward the future and this indeed the common
τοῖς εἰς τύχας ἐμβαίνουσιν ἀπόρους καὶ τόλμας προοίμιον
to-those into fortunes entering desperate and ventures prelude
ὑπειπών, "Ἀνερρίφθω κύβος," ὥρμησε πρὸς τὴν διάβασιν·
having-uttered let-be-thrown die he-rushed to the crossing
καὶ δρόμῳ τὸ λοιπὸν ἤδη χρώμενος εἰσέπεσε πρὸ ἡμέρας
and with-running the rest already using burst before day
εἰς τὸ Ἀρίμινον καὶ κατέσχε. λέγεται δὲ τῇ προτέρᾳ
into — Ariminum and seized(-it) it-is-said and on-the before
νυκτὶ τῆς διαβάσεως ὄναρ ἰδεῖν ἔκθεσμον· ἐδόκει γὰρ
night of-the crossing a-dream to-have-seen unlawful seemed for
αὐτὸς τῇ ἑαυτοῦ μητρὶ μίγνυσθαι τὴν ἄρρητον μῖξιν.
he with-the his-own mother to-have-intercourse the unspeakable intercourse
33 Ἐπεὶ δὲ κατελήφθη τὸ Ἀρίμινον, ὥσπερ ἀνεῳγμένου τοῦ
when and was-seized — Ariminum as-if opened the
πολέμου πλατείαις πύλαις ἐπὶ πᾶσαν ὁμοῦ τὴν γῆν καὶ
war with-wide gates over all at-once the earth and
θάλασσαν, καὶ συγκεχυμένων ἅμα τοῖς ὅροις τῆς
sea and confounded together-with the boundaries of-the
ἐπαρχίας τῶν νόμων τῆς πόλεως, οὐκ ἄνδρας ἄν τις
province the laws of-the city not men — anyone
ᾠήθη καὶ γυναῖκας, ὥσπερ ἄλλοτε, σὺν ἐκπλήξει
would-have-thought and women as at-other-times with consternation
διαφοιτᾶν τῆς Ἰταλίας, ἀλλὰ τὰς πόλεις αὐτὰς
to-be-going-to-and-fro-over — of-Italy but the cities themselves
ἀνισταμένας φυγῇ διαφέρεσθαι δι' ἀλλήλων, τὴν δὲ
rising-up in-flight to-be-rushing through each-other — and

Ῥώμην ὥσπερ ὑπὸ ῥευμάτων πιμπλαμένην φυγαῖς τῶν
Rome as-if by floods being-filled with-flights of-the
πέριξ δήμων καὶ μεταστάσεσιν, οὔτε ἄρχοντι πεῖσαι
round-about peoples and migrations neither by-a-magistrate to-persuade
ῥᾳδίαν οὖσαν οὔτε λόγῳ καθεκτήν, ἐν πολλῷ κλύδωνι καὶ
easy being nor by-reason restrainable in great surge and
σάλῳ μικρὸν ἀπολιπεῖν αὐτὴν ὑφ' αὑτῆς ἀνατετράφθαι.
tossing a-little to-have-lacked it by itself to-have-been-capsized
πάθη γὰρ ἀντίπαλα καὶ βίαια κατεῖχε κινήματα πάντα
passions for opposed and violent held commotions every
τόπον. οὔτε γὰρ τὸ χαῖρον ἡσυχίαν ἦγεν, ἀλλὰ τῷ
place neither for the rejoicing(-party) quiet kept but with-the
δεδοικότι καὶ λυπουμένῳ κατὰ πολλὰ συμπῖπτον ἐν
fearing and grieving in many(-places) meeting in
μεγάλῃ πόλει καὶ θρασυνόμενον ὑπὲρ τοῦ μέλλοντος δι'
a-great city and being-bold about the future through
ἐρίδων ἦν, αὐτόν τε Πομπήϊον ἐκπεπληγμένον ἄλλος
strifes was him both Pompey dismayed one
ἀλλαχόθεν ἐτάραττε, τοῖς μέν, ὡς ηὔξησε Καίσαρα
from-another-quarter troubled to-some indeed as he-had-increased Caesar
καθ' ἑαυτοῦ καὶ τῆς ἡγεμονίας, εὐθύνας ὑπέχοντα, τῶν δέ,
against himself and the supremacy account rendering others and
ὅτι παρείκοντα καὶ προτεινόμενον εὐγνώμονας διαλύσεις
that conceding and offering reasonable terms
ἐφῆκε τοῖς περὶ Λέντλον ὑβρίσαι, κατηγορούντων.
he-allowed those around Lentulus to-insult(-him) accusing
Φαώνιος δὲ αὐτὸν ἐκέλευε τῷ ποδὶ κτυπεῖν τὴν γῆν, ἐπεὶ
Favonius and him bade with-the foot to-stamp the ground since
μεγαληγορῶν ποτε πρὸς τὴν σύγκλητον οὐδὲν εἴα
boasting once to the senate nothing he-allowed(-them)
πολυπραγμονεῖν οὐδὲ φροντίζειν ἐκείνους τῆς ἐπὶ τὸν
to-busy-themselves nor to-care-for them of-the for the

πόλεμον παρασκευῆς· αὐτὸς γάρ, ὅταν ἐπίῃ, κρούσας τὸ
war preparation he for whenever he-comes having-struck the
ἔδαφος τῷ ποδὶ στρατευμάτων ἐμπλήσειν τὴν Ἰταλίαν.
ground with-the foot with-armies he-will-fill — Italy
Οὐ μὴν ἀλλὰ καὶ τότε πλήθει δυνάμεως ὑπερέβαλλεν
not indeed but even then in-number of-force surpassed
ὁ Πομπήϊος τὴν Καίσαρος· εἴασε δ' οὐδεὶς τὸν ἄνδρα
— Pompey the of-Caesar allowed but nobody the man
χρήσασθαι τοῖς ἑαυτοῦ λογισμοῖς, ἀλλὰ ὑπ' ἀγγελμάτων
to-use the his-own reasonings but by reports
πολλῶν καὶ ψευδῶν καὶ φόβων, ὡς ἐφεστῶτος ἤδη
many and false and fears as standing-over already
τοῦ πολέμου καὶ πάντα κατέχοντος, εἴξας καὶ
the war and all-things occupying having-yielded and
συνεκκρουσθεὶς τῇ πάντων φορᾷ ψηφίζεται ταραχὴν
having-been-swept-along by-the of-all rush he-decrees tumult
ὁρᾶν, καὶ τὴν πόλιν ἐξέλιπε κελεύσας ἕπεσθαι τὴν
to-see and the city he-left having-ordered to-follow the
γερουσίαν, καὶ μηδένα μένειν τῶν πρὸ τῆς τυραννίδος
senate and nobody to-remain of-those before the tyranny
ᾑρημένων τὴν πατρίδα καὶ τὴν ἐλευθερίαν.
having-chosen the fatherland and the freedom

34 Οἱ μὲν οὖν ὕπατοι μηδὲ ἃ νόμος ἐστὶ πρὸ ἐξόδου
the indeed then consuls not-even what custom is before departure
θύσαντες ἔφυγον· ἔφευγον δὲ καὶ τῶν βουλευτῶν οἱ
having-sacrificed fled were-fleeing and also of-the senators the
πλεῖστοι, τρόπον τινὰ δι' ἁρπαγῆς ἀπὸ τῶν ἰδίων ὅ τι
most in-a-way some by plunder from the own what ever
τύχοιεν ὥσπερ ἀλλοτρίων λαμβάνοντες, εἰσὶ δὲ οἳ καὶ
they-chanced-on as-if others' taking there-are and who even
σφόδρα τὰ Καίσαρος ᾑρημένοι πρότερον ἐξέπεσον ὑπὸ
strongly the(-side) of-Caesar having-chosen formerly were-driven by

θάμβους τότε τῶν λογισμῶν καὶ συμπαρηνέχθησαν οὐδὲν
consternation then out-of-the reasonings and were-swept-along not-at-all
δεόμενοι τῷ ῥεύματι τῆς φορᾶς ἐκείνης. οἰκτρότατον δὲ
needing by-the current of-the rush that most-pitiable and
τὸ θέαμα τῆς πόλεως ἦν, ἐπιφερομένου τοσούτου χειμῶνος,
the sight of-the city was bearing-down so-great a-storm
ὥσπερ νεὼς ὑπὸ κυβερνητῶν ἀπαγορευόντων πρὸς τὸ
as-of a-ship by pilots giving-up to the
συντυχὸν ἐκπεσεῖν κομιζομένης. ἀλλὰ καίπερ οὕτω τῆς
chance to-be-driven being-carried but although thus the
μεταστάσεως οἰκτρᾶς οὔσης, τὴν μὲν φυγὴν οἱ ἄνθρωποι
migration pitiable being the indeed flight the men
πατρίδα διὰ Πομπήϊον ἡγοῦντο, τὴν δὲ Ῥώμην ὡς
fatherland because-of Pompey considered — and Rome as
Καίσαρος στρατόπεδον ἐξέλειπον· ὅπου καὶ Λαβιηνός, ἀνὴρ
of-Caesar a-camp they-abandoned where also Labienus a-man
ἐν τοῖς μάλιστα φίλοις Καίσαρος καὶ πρεσβευτὴς γεγονὼς
among the most friends of-Caesar and legate having-been
καὶ συνηγωνισμένος ἐν πᾶσι προθυμότατα τοῖς Κελτικοῖς
and having-fought-with(-him) in all most-zealously the Gallic
πολέμοις, τότ' ἐκεῖνον ἀποδρὰς ἀφίκετο πρὸς Πομπήϊον.
wars then him having-deserted came to Pompey
Ἀλλὰ τούτῳ μὲν καὶ τὰ χρήματα καὶ τὰς ἀποσκευὰς
but to-this-one indeed both the money and the baggage
ἀπέπεμψεν ὁ Καῖσαρ· Δομετίῳ δὲ ἡγουμένῳ
sent-after(-him) — Caesar against-Domitius and commanding
σπειρῶν τριάκοντα καὶ κατέχοντι Κορφίνιον ἐπελθὼν
cohorts thirty and holding Corfinium having-come
παρεστρατοπέδευσεν. ὁ δὲ ἀπογνοὺς τὰ καθ'
he-encamped-beside(-him) he and having-despaired-of the(-things) concerning
ἑαυτὸν ᾔτησε τὸν ἰατρὸν οἰκέτην ὄντα φάρμακον· καὶ
himself asked the physician a-slave being for-poison and

λαβὼν τὸ δοθὲν ἔπιεν ὡς τεθνηξόμενος. μετ᾽ ὀλίγον
having-taken the given(-dose) drank(-it) as going-to-die after a-little
δὲ ἀκούσας τὸν Καίσαρα θαυμαστῇ τινι φιλανθρωπίᾳ
and having-heard — Caesar with-wonderful some humanity
χρῆσθαι πρὸς τοὺς ἑαλωκότας, αὐτὸς αὑτὸν ἀπεθρήνει
to-use toward the captured he himself bewailed
καὶ τὴν ὀξύτητα τοῦ βουλεύματος ᾐτιᾶτο. τοῦ δ᾽
and the haste of-the decision blamed the and
ἰατροῦ θαρρύναντος αὐτόν, ὡς ὑπνωτικόν, οὐ θανάσιμον,
physician having-reassured him as a-sleeping-draft not deadly
πεπωκότα, περιχαρὴς ἀναστὰς ἀπῄει πρὸς Καίσαρα,
having-drunk overjoyed having-stood-up he-went-off to Caesar
καὶ λαβὼν δεξιὰν αὖθις διεξέπεσε πρὸς Πομπήϊον.
and having-received a-right-hand again deserted to Pompey
ταῦτα εἰς τὴν Ῥώμην ἀπαγγελλόμενα τοὺς ἀνθρώπους
these-things to — Rome reported the men
ἡδίους ἐποίει, καί τινες φυγόντες ἀνέστρεψαν.
more-cheerful made and some having-fled returned
35 Ὁ δὲ Καῖσαρ τήν τε τοῦ Δομετίου στρατιὰν παρέλαβε
— and Caesar the both — of-Domitius army took-over
καὶ τοὺς ἄλλους, ὅσους ἐν ταῖς πόλεσι Πομπηΐῳ
and the others as-many-as in the cities for-Pompey
στρατολογουμένους ἔφθασε καταλαβών. πολὺς δὲ γεγονὼς
being-levied he-anticipated in-seizing great and having-become
ἤδη καὶ φοβερὸς ἐπ᾽ αὐτὸν ἤλαυνε Πομπήϊον. ὁ δὲ οὐκ
already and formidable against himself he-marched Pompey he but not
ἐδέξατο τὴν ἔφοδον, ἀλλ᾽ εἰς Βρεντέσιον φυγὼν τοὺς μὲν
awaited the attack but to Brundisium having-fled the indeed
ὑπάτους πρότερον ἔστειλε μετὰ δυνάμεως εἰς Δυρράχιον,
consuls earlier sent with a-force to Dyrrachium
αὐτὸς δὲ ὀλίγον ὕστερον ἐπελθόντος Καίσαρος ἐξέπλευσεν,
he and a-little later having-come-up Caesar sailed-away

ὡς ἐν τοῖς περὶ ἐκείνου γραφησομένοις τὰ καθ' ἕκαστον
as in the about him to-be-written the(-things) in detail
δηλωθήσεται. Καίσαρι δὲ βουλομένῳ μὲν εὐθὺς διώκειν
will-be-shown to-Caesar and wishing indeed at-once to-pursue
ἀπορία νεῶν ἦν· εἰς δὲ τὴν Ῥώμην ἀνέστρεψε, γεγονὼς
lack of-ships there-was to and — Rome he-returned having-become
ἐν ἡμέραις ἑξήκοντα πάσης ἀναιμωτὶ τῆς Ἰταλίας κύριος.
in days sixty of-all bloodlessly — of-Italy master
Ἐπεὶ δὲ καὶ τὴν πόλιν εὗρε μᾶλλον ἢ προσεδόκα
when and also the city he-found more than he-expected
καθεστῶσαν καὶ τῶν ἀπὸ βουλῆς ἐν αὐτῇ συχνούς, τούτοις
settled and of-those from senate in it many to-these
μὲν ἐπιεικῆ καὶ δημοτικὰ διελέχθη, παρακαλῶν αὐτοὺς
indeed reasonable and popular(-things) he-spoke urging them
καὶ πρὸς Πομπήϊον ἀποστέλλειν ἄνδρας ἐπὶ συμβάσεσι
also to Pompey to-send men on terms
πρεπούσαις· ὑπήκουσε δ' οὐδείς, εἴτε φοβούμενοι Πομπήϊον
fitting obeyed but nobody whether fearing Pompey
ἐγκαταλελειμμένον, εἴτε μὴ νομίζοντες οὕτω Καίσαρα
deserted or not thinking so Caesar
φρονεῖν, ἀλλ' εὐπρεπείᾳ λόγων χρῆσθαι. τοῦ δὲ δημάρχου
to-mean but plausibility of-words to-use the and tribune
Μετέλλου κωλύοντος αὐτὸν ἐκ τῶν ἀποθέτων χρήματα
Metellus preventing him from the reserves money
λαμβάνειν καὶ νόμους τινὰς προφέροντος, οὐκ ἔφη τὸν
to-take and laws some citing not he-said the
αὐτὸν ὅπλων καὶ νόμων καιρὸν εἶναι· "Σὺ δὲ εἰ τοῖς
same of-arms and of-laws time to-be you and if with-the
πραττομένοις δυσκολαίνεις, νῦν μὲν ἐκποδὼν ἄπιθι·
doings are-displeased now indeed out-of-the-way go-away
παρρησίας γὰρ οὐ δεῖται πόλεμος· ὅταν δὲ κατάθωμαι τὰ
of-free-speech for not needs war when and I-lay-down the

ὅπλα συμβάσεων γενομένων, τότε παριὼν δημαγωγήσεις.
arms terms having-been-made then coming-forward you-will-harangue
καὶ ταῦτα," ἔφη, "λέγω τῶν ἐμαυτοῦ δικαίων ὑφιέμενος·
and these-things he-said I-say of-the my-own rights abating
ἐμὸς γὰρ εἰ καὶ σὺ καὶ πάντες ὅσους εἴληφα τῶν πρὸς
mine for you-are also you and all whom I-have-taken of-those against
ἐμὲ στασιασάντων." ταῦτα πρὸς τὸν Μέτελλον εἰπὼν
me having-revolted these-things to — Metellus having-said
ἐβάδιζε πρὸς τὰς θύρας τοῦ ταμιείου, μὴ φαινομένων
he-walked to the doors of-the treasury not appearing
δὲ τῶν κλειδῶν χαλκεῖς μεταπεμψάμενος ἐκκόπτειν
and the keys smiths having-summoned to-break(-them)-open
ἐκέλευεν· αὖθις δὲ ἐνισταμένου τοῦ Μετέλλου καί τινων
he-bade again and opposing — of-Metellus and some
ἐπαινούντων, διατεινάμενος ἠπείλησεν ἀποκτενεῖν αὐτόν, εἰ
praising(-him) having-raised-his-voice he-threatened to-kill him if
μὴ παύσαιτο παρενοχλῶν. "Καὶ τοῦτο," ἔφη, "μειράκιον,
not he-ceased annoying(-him) and this he-said young-man
οὐκ ἀγνοεῖς ὅτι μοι δυσκολώτερον ἦν εἰπεῖν ἢ
not you-are-ignorant that for-me harder it-was to-say than
πρᾶξαι." οὗτος ὁ λόγος τότε καὶ Μέτελλον ἀπελθεῖν
to-do this the word then also Metellus to-go-away
ἐποίησε καταδείσαντα καὶ τἆλλα ῥᾳδίως αὐτῷ καὶ
made having-taken-fright and the other(-things) easily for-him and
ταχέως ὑπηρετεῖσθαι πρὸς τὸν πόλεμον.
quickly to-be-supplied for the war

Caesar defeats Pompey's legates in Spain, is dictator for eleven days, and crosses in winter to Epirus, sending his ships back for the rest, who grumble at his hard driving. He tries to cross to Brundisium in a small boat and tells the frightened pilot that he carries Caesar and his Fortune, but the storm forces him back. His men eat roots, and after a defeat he says the enemy would have won with a man who knew how to conquer. He then marches against Scipio.

Ἐστράτευε δ' εἰς Ἰβηρίαν πρότερον ἐγνωκὼς τοὺς περὶ 36
he-marched and into Iberia first having-resolved those around
Ἀφράνιον καὶ Βάρρωνα Πομπηΐου πρεσβευτὰς ἐκβαλεῖν,
Afranius and Varro of-Pompey legates to-drive-out
καὶ τὰς ἐκεῖ δυνάμεις καὶ τὰς ἐπαρχίας ὑφ' αὑτῷ
and the there forces and the provinces under himself
ποιησάμενος οὕτως ἐπὶ Πομπήϊον ἐλαύνειν, μηδένα κατὰ
having-made so against Pompey to-march nobody at
νώτου τῶν πολεμίων ὑπολειπόμενος. κινδυνεύσας δὲ
back of-the enemy leaving-behind having-been-in-danger and
καὶ τῷ σώματι πολλάκις κατ' ἐνέδρας καὶ τῷ στρατῷ
both in-the body often through ambushes and in-the army
μάλιστα διὰ λιμόν, οὐκ ἀνῆκε πρότερον διώκων καὶ
especially through famine not he-let-up before pursuing and
προκαλούμενος καὶ περιταφρεύων τοὺς ἄνδρας ἢ κύριος
challenging and entrenching-around the men than master
βίᾳ γενέσθαι τῶν στρατοπέδων καὶ τῶν δυνάμεων. οἱ
by-force to-become of-the camps and of-the forces the
δὲ ἡγεμόνες ᾤχοντο πρὸς Πομπήϊον φεύγοντες.
and commanders went to Pompey fleeing
Ἐπανελθόντα δὲ εἰς Ῥώμην Καίσαρα Πείσων μὲν ὁ 37
having-returned and to Rome Caesar Piso indeed the
πενθερὸς παρεκάλει πρὸς Πομπήϊον ἀποστέλλειν ἄνδρας
father-in-law urged to Pompey to-send men

ὑπὲρ διαλύσεως, Ἰσαυρικὸς δὲ Καίσαρι χαριζόμενος
about a-settlement Isauricus but to-Caesar doing-a-favor
ἀντεῖπεν. αἱρεθεὶς δὲ δικτάτωρ ὑπὸ τῆς βουλῆς
spoke-against(-it) having-been-chosen and dictator by the senate
φυγάδας τε κατήγαγε, καὶ τῶν ἐπὶ Σύλλα δυστυχησάντων
exiles both he-restored and of-those under Sulla having-been-unfortunate
τοὺς παῖδας ἐπιτίμους ἐποίησε, καὶ σεισαχθείᾳ τινὶ τόκων
the children enfranchised made and by-a-shaking-off some of-interest
ἐκούφιζε τοὺς χρεωφειλέτας, ἄλλων τε τοιούτων ἥψατο
relieved the debtors other and such undertook
πολιτευμάτων οὐ πολλῶν, ἀλλ' ἐν ἡμέραις ἕνδεκα τὴν
political-measures not many but in days eleven the
μὲν μοναρχίαν ἀπειπάμενος, ὕπατον δὲ ἀναδείξας ἑαυτὸν
indeed sole-rule having-renounced consul and having-declared himself
καὶ Σερουίλιον Ἰσαυρικόν, εἴχετο τῆς στρατείας.
and Servilius Isauricus he-held-to the campaign
Καὶ τὰς μὲν ἄλλας δυνάμεις καθ' ὁδὸν ἐπειγόμενος
and the indeed other forces on the-road hastening
παρῆλθεν, ἱππεῖς δὲ ἔχων λογάδας ἑξακοσίους καὶ
he-passed-by horsemen and having picked six-hundred and
πέντε τάγματα, χειμῶνος ἐν τροπαῖς ὄντος, ἱσταμένου
five legions of-winter at the-solstice being beginning
Ἰαννουαρίου μηνὸς (οὗτος δ' ἂν εἴη Ποσειδεὼν
January month this and — would-be Poseideon
Ἀθηναίοις) ἀφῆκεν εἰς τὸ πέλαγος· καὶ διαβαλὼν τὸν
for-Athenians he-put-out into the sea and having-crossed the
Ἰόνιον Ὧρικον καὶ Ἀπολλωνίαν αἱρεῖ, τὰ δὲ πλοῖα πάλιν
Ionian Oricum and Apollonia takes the and boats again
ἀπέπεμψεν εἰς Βρεντέσιον ἐπὶ τοὺς ὑστερήσαντας τῇ
he-sent-back to Brundisium for the having-lagged on-the
πορείᾳ στρατιώτας. οἱ δὲ ἄχρι μὲν καθ' ὁδὸν ἦσαν,
march soldiers they and as-long indeed on the-road were

ἅτε δὴ καὶ παρηκμακότες ἤδη τοῖς σώμασι καὶ πρὸς
inasmuch indeed also past-their-prime already in-the bodies and at
τὰ πλήθη τῶν πολέμων ἀπειρηκότες, ἐν αἰτίαις εἶχον τὸν
the multitudes of-the wars exhausted in blame held —
Καίσαρα· “Ποῖ δὴ καὶ πρὸς τί πέρας ἡμᾶς οὗτος ὁ
Caesar where indeed and to what end us this the
ἀνὴρ καταθήσεται περιφέρων καὶ χρώμενος ὥσπερ ἀτρύτοις
man will-set-down carrying-about and using as-if untiring
καὶ ἀψύχοις ἡμῖν; καὶ σίδηρος ἐξέκαμε πληγαῖς, καὶ θυρεοῦ
and lifeless us even iron has-tired-out from-blows and of-a-shield
τίς ἐστι φειδὼ ἐν χρόνῳ τοσούτῳ καὶ θώρακος. οὐδὲ
what is sparing in time so-great and of-a-breastplate not-even
ἀπὸ τῶν τραυμάτων ἄρα λογίζεται Καῖσαρ ὅτι θνητῶν
from the wounds then reckons Caesar that of-mortals
μὲν ἄρχει, θνητὰ δὲ πεφύκαμεν πάσχειν καὶ ἀλγεῖν;
indeed he-rules mortal-things and we-are-born to-suffer and to-feel-pain
ὥραν δὲ χειμῶνος καὶ πνεύματος ἐν θαλάττῃ καιρὸν
the-season and of-winter and of-wind on sea the-moment
οὐδὲ θεῷ βιάζεσθαι δυνατόν· ἀλλ’ οὗτος παραβάλλεται
not-even for-a-god to-force possible but this-man ventures
καθάπερ οὐ διώκων πολεμίους, ἀλλὰ φεύγων.” τοιαῦτα
as-if not pursuing enemies but fleeing such-things
λέγοντες ἐπορεύοντο σχολαίως εἰς τὸ Βρεντέσιον. ὡς δὲ
saying they-marched slowly to — Brundisium when and
ἐλθόντες εὗρον ἀνηγμένον τὸν Καίσαρα, ταχὺ πάλιν αὖ
having-come they-found put-to-sea — Caesar quickly again in-turn
μεταβαλόντες ἐκάκιζον ἑαυτοὺς προδότας ἀποκαλοῦντες
having-changed they-reviled themselves traitors calling
τοῦ αὐτοκράτορος, ἐκάκιζον δὲ καὶ τοὺς ἡγεμόνας οὐκ
of-the imperator they-reviled and also the officers not
ἐπιταχύναντας τὴν πορείαν. καθήμενοι δὲ ἐπὶ τῶν ἄκρων
having-hastened the march sitting and on the heights

πρὸς τὸ πέλαγος καὶ τὴν Ἤπειρον ἀπεσκόπουν τὰς ναῦς
toward the sea and — Epirus they-watched-for the ships
ἐφ' ὧν ἔμελλον περαιοῦσθαι πρὸς ἐκεῖνον.
on which they-were-to cross to him
38 Ἐν δὲ Ἀπολλωνίᾳ Καῖσαρ οὐκ ἔχων ἀξιόμαχον τὴν
in and Apollonia Caesar not having battle-worthy the
μεθ' ἑαυτοῦ δύναμιν, βραδυνούσης δὲ τῆς ἐκεῖθεν,
with himself force delaying and the from-there(-force)
ἀπορούμενος καὶ περιπαθῶν, δεινὸν ἐβούλευσε βούλευμα,
being-at-a-loss and distressed a-terrible resolved resolve
κρύφα πάντων εἰς πλοῖον ἐμβὰς τὸ μέγεθος
secretly from-all into a-boat having-embarked in-the size
δωδεκάσκαλμον ἀναχθῆναι πρὸς τὸ Βρεντέσιον, τηλικούτοις
of-twelve-oars to-put-out to — Brundisium with-such
στόλοις περιεχομένου τοῦ πελάγους ὑπὸ τῶν πολεμίων.
fleets being-encompassed the sea by the enemy
νυκτὸς οὖν ἐσθῆτι θεράποντος ἐπικρυψάμενος ἐνέβη,
by-night then in-the-clothing of-a-servant having-disguised-himself he-embarked
καὶ καταβαλὼν ἑαυτὸν ὥς τινα τῶν παρημελημένων
and having-thrown-down himself as some(-one) of-the of-no-account
ἡσύχαζε. τοῦ δὲ Ἀώου ποταμοῦ τὴν ναῦν ὑποφέροντος
kept-quiet the and Aous river the ship carrying-down
εἰς τὴν θάλασσαν, τὴν μὲν ἑωθινὴν αὔραν, ἣ παρεῖχε
into the sea the indeed morning breeze which afforded
τηνικαῦτα περὶ τὰς ἐκβολὰς γαλήνην ἀπωθοῦσα πόρρω
at-that-time about the mouths calm pushing-back far
τὸ κῦμα, πολὺς πνεύσας πελάγιος διὰ νυκτὸς ἀπέσβεσε·
the wave much having-blown sea-wind through night quenched
πρὸς δὲ τὴν πλημμύραν τῆς θαλάττης καὶ τὴν ἀντίβασιν
against and the flood of-the sea and the resistance
τοῦ κλύδωνος ἀγριαίνων ὁ ποταμός, καὶ τραχὺς ἅμα καὶ
of-the surge growing-wild the river and rough at-once and

κτύπῳ μεγάλῳ καὶ σκληραῖς ἀνακοπτόμενος δίναις, ἄπορος
with-a-roar great and by-hard being-checked eddies impossible
ἦν βιασθῆναι τῷ κυβερνήτῃ· καὶ μεταβαλεῖν ἐκέλευσε
was to-be-forced for-the pilot and to-turn-about he-ordered
τοὺς ναύτας ὡς ἀποστρέψων τὸν πλοῦν. αἰσθόμενος δὲ ὁ
the sailors as going-to-turn-back the voyage having-perceived and —
Καῖσαρ ἀναδείκνυσιν ἑαυτόν, καὶ τοῦ κυβερνήτου λαβόμενος
Caesar reveals himself and the pilot having-grasped
τῆς χειρὸς ἐκπεπληγμένου πρὸς τὴν ὄψιν, "Ἴθι," ἔφη,
by-the hand astonished at the sight go-on he-said
"γενναῖε, τόλμα καὶ δέδιθι μηδέν· Καίσαρα φέρεις καὶ τὴν
good-man dare and fear nothing Caesar you-carry and the
Καίσαρος τύχην συμπλέουσαν." ἐλάθοντο τοῦ χειμῶνος οἱ
of-Caesar fortune sailing-with(-you) forgot the storm the
ναῦται, καὶ ταῖς κώπαις ἐμφύντες ἐβιάζοντο πάσῃ προθυμίᾳ
sailors and to-the oars clinging forced with-all zeal
τὸν ποταμόν. ὡς δὲ ἦν ἄπορα, δεξάμενος πολλὴν
the river when and it-was impossible having-taken-in much
θάλατταν καὶ κινδυνεύσας ἐν τῷ στόματι συνεχώρησε
sea and having-been-in-danger at the mouth he-allowed
μάλα ἄκων τῷ κυβερνήτῃ μεταβαλεῖν. ἀνιόντι δὲ αὐτῷ
very unwilling the pilot to-turn-about returning and him
κατὰ πλῆθος ἀπήντων οἱ στρατιῶται, πολλὰ μεμφόμενοι
in a-throng met the soldiers much blaming
καὶ δυσπαθοῦντες εἰ μὴ πέπεισται καὶ σὺν αὐτοῖς μόνοις
and being-aggrieved if not he-is-persuaded even with them alone
ἱκανὸς εἶναι νικᾶν, ἀλλ' ἄχθεται καὶ παραβάλλεται διὰ
able to-be to-conquer but is-vexed and ventures because-of
τοὺς ἀπόντας ὡς ἀπιστῶν τοῖς παροῦσιν.
the absent as distrusting the present

39 Ἐκ τούτου κατέπλευσε μὲν Ἀντώνιος ἀπὸ Βρεντεσίου
after this sailed-in indeed Antony from Brundisium
τὰς δυνάμεις ἄγων· θαρρήσας δὲ Καῖσαρ προὐκαλεῖτο
the forces bringing having-taken-heart and Caesar challenged
Πομπήϊον ἱδρυμένον ἐν καλῷ καὶ χορηγούμενον ἔκ τε
Pompey established in a-good(-position) and supplied from both
γῆς καὶ θαλάττης ἀποχρώντως, αὐτὸς ἐν οὐκ ἀφθόνοις
land and sea sufficiently himself in not abundant(-things)
διάγων κατ᾽ ἀρχάς, ὕστερον δὲ καὶ σφόδρα πιεσθεὶς ἀπορίᾳ
living at first later and also severely pressed by-lack
τῶν ἀναγκαίων. ἀλλὰ ῥίζαν τινὰ κόπτοντες οἱ στρατιῶται
of-the necessities but a-root some cutting the soldiers
καὶ γάλακτι φυρῶντες προσεφέροντο. καί ποτε καὶ
and with-milk mixing ate(-it) and once even
διαπλάσαντες ἐξ αὐτῆς ἄρτους καὶ ταῖς προφυλακαῖς τῶν
having-molded from it loaves and to-the outposts of-the
πολεμίων ἐπιδραμόντες ἔβαλλον εἴσω καὶ διερρίπτουν,
enemy having-run-up they-threw(-them) inside and scattered(-them)
ἐπιλέγοντες ὡς, ἄχρι ἂν ἡ γῆ τοιαύτας ἐκφέρῃ ῥίζας, οὐ
saying-besides that as-long-as — the earth such brings-forth roots not
παύσονται πολιορκοῦντες Πομπήϊον. ὁ μέντοι Πομπήϊος οὔτε
they-will-cease besieging Pompey — however Pompey neither
τοὺς ἄρτους οὔτε τοὺς λόγους εἴα τούτους ἐκφέρεσθαι πρὸς
the loaves nor the words allowed these to-be-carried to
τὸ πλῆθος. ἠθύμουν γὰρ οἱ στρατιῶται, τὴν ἀγριότητα καὶ
the multitude were-dispirited for the soldiers the savagery and
τὴν ἀπάθειαν τῶν πολεμίων ὥσπερ θηρίων ὀρρωδοῦντες.
the insensibility of-the enemy as-of wild-beasts dreading
Ἀεὶ δέ τινες περὶ τοῖς ἐρύμασι τοῖς Πομπηΐου μάχαι
always and some around the fortifications the of-Pompey fights
σποράδες ἐγίγνοντο· καὶ περιῆν πάσαις ὁ Καῖσαρ πλὴν
scattered took-place and prevailed in-all — Caesar except

μιᾶς, ἐν ᾗ τροπῆς μεγάλης γενομένης ἐκινδύνευσεν
one in which a-rout great having-occurred he-was-in-danger
ἀπολέσαι τὸ στρατόπεδον. Πομπηΐου γὰρ προσβάλλοντος
to-lose the camp Pompey for attacking
οὐδεὶς ἔμεινεν, ἀλλὰ καὶ τάφροι κατεπίμπλαντο κτεινομένων,
nobody stood-firm but even trenches were-filled with-the-slain
καὶ περὶ τοῖς αὑτῶν χαρακώμασι καὶ περιτειχίσμασιν
and around the their-own palisades and ramparts
ἔπιπτον ἐλαυνόμενοι προτροπάδην. Καῖσαρ δὲ ὑπαντιάζων
they-fell being-driven headlong Caesar and meeting(-them)
ἐπειρᾶτο μὲν ἀναστρέφειν τοὺς φεύγοντας, ἐπέραινε δὲ
tried indeed to-turn-back the fleeing accomplished but
οὐδέν, ἀλλ᾽ ἐπιλαμβανομένου τῶν σημείων ἀπερρίπτουν οἱ
nothing but grasping(-him) the standards threw(-them)-away the
κομίζοντες, ὥστε δύο καὶ τριάκοντα λαβεῖν τοὺς πολεμίους.
bearers so-that two and thirty to-take the enemy
αὐτὸς δὲ παρὰ μικρὸν ἦλθεν ἀποθανεῖν. ἀνδρὶ γὰρ μεγάλῳ
he and by a-little came to-die on-a-man for big
καὶ ῥωμαλέῳ φεύγοντι παρ᾽ αὐτὸν ἐπιβαλὼν τὴν χεῖρα
and strong fleeing by him having-laid the hand
μένειν ἐκέλευσε καὶ στρέφεσθαι πρὸς τοὺς πολεμίους· ὁ δὲ
to-stay he-ordered and to-turn against the enemy he and
μεστὸς ὢν ταραχῆς παρὰ τὸ δεινὸν ἐπήρατο τὴν μάχαιραν
full being of-confusion at the terror raised the sword
ὡς καθιξόμενος, φθάνει δὲ ὁ τοῦ Καίσαρος ὑπασπιστὴς
as going-to-strike anticipates but the — of-Caesar shield-bearer
ἀποκόψας αὐτοῦ τὸν ὦμον. οὕτω δὲ ἀπέγνω τὰ
having-cut-off his the shoulder so and he-despaired-of the(-things)
καθ᾽ αὑτὸν ὥστε, ἐπεὶ Πομπήϊος ὑπ᾽ εὐλαβείας τινὸς ἢ
about himself so-that when Pompey from caution some or
τύχης ἔργῳ μεγάλῳ τέλος οὐκ ἐπέθηκεν, ἀλλὰ καθείρξας
chance on-a-deed great an-end not put but having-shut

εἰς τὸν χάρακα τοὺς φεύγοντας ἀνεχώρησεν, εἶπεν ἄρα
into the palisade the fleeing withdrew said then
πρὸς τοὺς φίλους ἀπιὼν ὁ Καῖσαρ, "Σήμερον ἂν ἡ νίκη
to the friends going-away — Caesar today — the victory
παρὰ τοῖς πολεμίοις ἦν, εἰ τὸν νικῶντα εἴχον."
with the enemy would-have-been if the conqueror they-had
αὐτὸς δὲ παρελθὼν εἰς τὴν σκηνὴν καὶ κατακλιθεὶς νύκτα
he and having-gone into the tent and having-lain-down night
πασῶν ἐκείνην ἀνιαροτάτην διήγαγεν ἐν ἀπόροις λογισμοῖς,
of-all that most-distressing passed in helpless reflections
ὡς κακῶς ἐστρατηγηκώς, ὅτι καὶ χώρας ἐπικειμένης
that badly he-had-generaled because both land lying-near
βαθείας καὶ πόλεων εὐδαιμόνων τῶν Μακεδονικῶν καὶ
deep and cities prosperous the Macedonian and
Θετταλικῶν, ἐάσας ἐκεῖ περισπάσαι τὸν πόλεμον
Thessalian having-allowed there to-draw-off the war
ἐνταῦθα καθέζοιτο πρὸς θαλάττῃ, ναυκρατούντων τῶν
here he-was-sitting by sea commanding-the-sea the
πολεμίων, πολιορκούμενος τοῖς ἀναγκαίοις μᾶλλον ἢ τοῖς
enemy besieged by-the necessities rather than with-the
ὅπλοις πολιορκῶν. οὕτω δὴ ῥιπτασθεὶς καὶ ἀδημονήσας
arms besieging thus indeed tossed and distressed
πρὸς τὴν ἀπορίαν καὶ χαλεπότητα τῶν παρόντων ἀνίστη
at the perplexity and harshness of-the present he-raised
τὸν στρατόν, ἐπὶ Σκηπίωνα προάγειν εἰς Μακεδονίαν
the army against Scipio to-advance into Macedonia
ἐγνωκώς· ἢ γὰρ ἐπισπάσεσθαι Πομπήϊον ὅπου μαχεῖται
having-resolved either for to-draw-after(-him) Pompey where he-will-fight
μὴ χορηγούμενος ὁμοίως ἀπὸ τῆς θαλάττης, ἢ περιέσεσθαι
not supplied equally from the sea or to-prevail-over
μεμονωμένου Σκηπίωνος.
isolated Scipio

Pompey's officers, thinking Caesar beaten, press for battle; only Cato praises Pompey's delay, while Favonius jests and Afranius sneers. Caesar's army, cured of sickness by the wine of Gomphi, reaches the Pharsalian plain, where Pompey's men already share out offices. A seer foretells a reversal, and a fiery light falls on Pompey's camp. Caesar draws up three lines and a hidden reserve; the centurion Crassinius, vowing praise alive or dead, charges first and takes a sword through the mouth.

Τοῦτο τὴν Πομπηΐου στρατιὰν ἐπῆρε καὶ τοὺς περὶ αὐτὸν 40
this the of-Pompey army elated and those around him
ἡγεμόνας ὡς ἡττημένου καὶ φεύγοντος ἔχεσθαι Καίσαρος.
commanders as of-one-defeated and fleeing to-hold-on-to Caesar
αὐτὸς μὲν γὰρ εὐλαβῶς εἶχε Πομπήϊος ἀναρρῖψαι μάχην
he indeed for cautiously was Pompey to-risk a-battle
περὶ τηλικούτων, καὶ παρεσκευασμένος ἄριστα πᾶσι
for such-great(-stakes) and being-prepared best in-all-things
πρὸς τὸν χρόνον ἠξίου τρίβειν καὶ μαραίνειν τὴν
for the time thought-it-right to-wear-out and to-wither the
τῶν πολεμίων ἀκμὴν βραχεῖαν οὖσαν. τὸ γάρ τοι
of-the enemy vigor brief being the for surely
μαχιμώτατον τῆς Καίσαρος δυνάμεως ἐμπειρίαν μὲν
most-warlike of-the of-Caesar force experience indeed
εἶχε καὶ τόλμαν ἀνυπόστατον πρὸς τοὺς ἀγῶνας, ἐν δὲ
had and daring irresistible for the struggles in but
ταῖς πλάναις καὶ ταῖς στρατοπεδείαις καὶ τειχομαχοῦντες
the wanderings and the encampings both fighting-at-walls
καὶ νυκτεγερτοῦντες ἐξέκαμνον ὑπὸ γήρως, καὶ βαρεῖς
and keeping-night-watch they-grew-weary from age and heavy
ἦσαν τοῖς σώμασι πρὸς τοὺς πόνους, δι᾽ ἀσθένειαν
were in-the bodies for the toils through weakness
ἐγκαταλείποντες τὴν προθυμίαν. τότε δὲ καί τι νόσημα
abandoning the zeal then and also some disease

λοιμῶδες ἐλέχθη, τὴν ἀτοπίαν τῆς διαίτης ποιησάμενον
pestilential was-said the strangeness of-the diet having-made
ἀρχήν, ἐν τῇ στρατιᾷ περιφέρεσθαι τῇ Καίσαρος. καὶ τὸ
beginning in the army to-be-going-round the of-Caesar and the
μέγιστον, οὔτε χρήμασιν ἐρρωμένος οὔτε τροφῆς εὐπορῶν
greatest neither in-money strong nor of-food well-supplied
χρόνου βραχέος ἐδόκει περὶ αὑτῷ καταλυθήσεσθαι.
in-time short he-seemed by himself to-be-going-to-be-destroyed
41 Διὰ ταῦτα Πομπήϊον μάχεσθαι μὴ βουλόμενον μόνος
for these-things Pompey to-fight not wishing alone
ἐπῄνει Κάτων φειδοῖ τῶν πολιτῶν· ὅς γε καὶ τοὺς
praised Cato from-sparing of-the citizens who at-least even those
πεσόντας ἐν τῇ μάχῃ τῶν πολεμίων εἰς χιλίους τὸ
fallen in the battle of-the enemy to a-thousand the
πλῆθος γενομένους ἰδὼν ἀπῆλθεν ἐγκαλυψάμενος καὶ
number amounting having-seen went-away having-covered(-his-face) and
καταδακρύσας. οἱ δ' ἄλλοι πάντες ἐκάκιζον τὸν Πομπήϊον
having-wept the and others all reviled — Pompey
φυγομαχοῦντα, καὶ παρώξυνον Ἀγαμέμνονα καὶ βασιλέα
avoiding-battle and goaded(-him) Agamemnon and king
βασιλέων ἀποκαλοῦντες, ὡς δὴ μὴ βουλόμενον ἀποθέσθαι
of-kings calling(-him) as indeed not wishing to-lay-down
τὴν μοναρχίαν, ἀλλ' ἀγαλλόμενον ἡγεμόνων τοσούτων
the sole-rule but delighting commanders so-many
ἐξηρτημένων αὐτοῦ καὶ φοιτώντων ἐπὶ σκηνήν. Φαώνιος δὲ
hanging-on him and coming to tent Favonius and
τὴν Κάτωνος παρρησίαν ὑποποιούμενος, μανικῶς ἐσχετλίαζεν
the of-Cato frankness affecting madly complained
εἰ μηδὲ τῆτες ἔσται τῶν περὶ Τουσκλάνον ἀπολαῦσαι
if not-even this-year it-will-be-possible of-the around Tusculum to-enjoy
σύκων διὰ τὴν Πομπηΐου φιλαρχίαν. Ἀφράνιος δὲ (νεωστὶ
figs because-of the of-Pompey love-of-command Afranius and lately

γὰρ ἐξ Ἰβηρίας ἀφῖκτο κακῶς στρατηγήσας) διαβαλλόμενος
for from Iberia had-come badly having-generaled being-accused
ἐπὶ χρήμασι προδοῦναι τὸν στρατόν, ἠρώτα διὰ τί πρὸς
for money to-have-betrayed the army asked for what against
τὸν ἔμπορον οὐ μάχονται τὸν ἐωνημένον παρ᾽ αὐτοῦ
the merchant not they-fight the(-man) having-bought from him
τὰς ἐπαρχίας. ἐκ τούτων ἁπάντων συνελαυνόμενος ἄκων
the provinces from these all being-driven unwilling
εἰς μάχην ὁ Πομπήϊος ἐχώρει τὸν Καίσαρα διώκων.
into battle — Pompey went — Caesar pursuing
Ὁ δὲ τὴν μὲν ἄλλην πορείαν χαλεπῶς ἤνυσεν, οὐδενὸς
he and the indeed other march with-difficulty accomplished nobody
παρέχοντος ἀγοράν, ἀλλὰ πάντων καταφρονούντων διὰ
furnishing a-market but all despising(-him) because-of
τὴν ἔναγχος ἧτταν· ὡς δὲ εἶλε Γόμφους, Θεσσαλικὴν πόλιν,
the recent defeat when and he-took Gomphi a-Thessalian city
οὐ μόνον ἔθρεψε τὴν στρατιάν, ἀλλὰ καὶ τοῦ νοσήματος
not only he-fed the army but also from-the disease
ἀπήλλαξε παραλόγως. ἀφθόνῳ γὰρ ἐνέτυχον οἴνῳ, καὶ
freed(-it) unexpectedly abundant for they-came-upon wine and
πιόντες ἀνέδην, εἶτα χρώμενοι κώμοις καὶ βακχεύοντες
having-drunk unrestrainedly then using revels and reveling-bacchically
ἀνὰ τὴν ὁδόν, ἐκ μέθης διεκρούσαντο καὶ παρήλλαξαν
along the road from drunkenness they-beat-off and changed
τὸ πάθος, εἰς ἕξιν ἑτέραν τοῖς σώμασι μεταπεσόντες.
the affliction into condition another in-the bodies having-shifted
Ὡς δὲ εἰς τὴν Φαρσαλίαν ἐμβαλόντες ἀμφότεροι 42
when and into the Pharsalian(-plain) having-entered both
κατεστρατοπέδευσαν, ὁ μὲν Πομπήϊος αὖθις εἰς τὸν
encamped — indeed Pompey again to the
ἀρχαῖον ἀνεκρούετο λογισμὸν τὴν γνώμην, ἔτι καὶ
old was-turned-back reasoning in-the mind still also

φασμάτων οὐκ αἰσίων προσγενομένων καὶ καθ᾽ ὕπνον
apparitions not auspicious having-come-besides and in sleep
ὄψεως. ἐδόκει γὰρ ἑαυτὸν ὁρᾶν ἐν τῷ θεάτρῳ κροτούμενον
a-vision he-seemed for himself to-see in the theater applauded
ὑπὸ Ῥωμαίων, *** οἱ δὲ περὶ αὐτὸν οὕτω θρασεῖς ἦσαν
by Romans (lacuna) those but around him so bold were
καὶ τὸ νίκημα ταῖς ἐλπίσι προειληφότες ὥστε φιλονεικεῖν
and the victory in-the hopes having-anticipated so-that to-contend
ὑπὲρ τῆς Καίσαρος ἀρχιερωσύνης Δομίτιον καὶ Σπινθῆρα
about the of-Caesar chief-priesthood Domitius and Spinther
καὶ Σκηπίωνα διαμιλλωμένους ἀλλήλοις, πέμπειν δὲ
and Scipio vying with-each-other to-send and
πολλοὺς εἰς Ῥώμην μισθουμένους καὶ προκαταλαμβάνοντας
many to Rome renting and seizing-in-advance
οἰκίας ὑπατεύουσι καὶ στρατηγοῦσιν ἐπιτηδείους, ὡς εὐθὺς
houses for-consuls and for-praetors suitable as at-once
ἄρξοντες μετὰ τὸν πόλεμον. μάλιστα δὲ ἐσφάδαζον
going-to-hold-office after the war most and were-eager
οἱ ἱππεῖς ἐπὶ τὴν μάχην ἠσκημένοι περιττῶς ὅπλων
the horsemen for the battle equipped exquisitely of-arms
λαμπρότησι καὶ τροφαῖς ἵππων καὶ κάλλει σωμάτων,
with-splendors and keepings of-horses and beauty of-bodies
μέγα φρονοῦντες καὶ διὰ τὸ πλῆθος, ἑπτακισχίλιοι
greatly thinking-of-themselves also because-of the number seven-thousand
πρὸς χιλίους τοὺς Καίσαρος ὄντες. ἦν δὲ καὶ τὸ τῶν
against thousand the of-Caesar being was and also the of-the
πεζῶν πλῆθος οὐκ ἀγχώμαλον, ἀλλὰ τετρακισμύριοι καὶ
infantry number not evenly-matched but forty-thousand and
πεντακισχίλιοι παρετάττοντο δισμυρίοις καὶ δισχιλίοις.
five-thousand were-arrayed against-twenty-thousand and two-thousand

Ὁ δὲ Καῖσαρ τοὺς στρατιώτας συναγαγών, καὶ προειπὼν 43
— and Caesar the soldiers having-gathered and having-announced
ὡς δύο μὲν αὐτῷ τάγματα Κορφίνιος ἄγων ἐγγύς ἐστιν,
that two indeed for-him legions Cornificius bringing near is
ἄλλαι δὲ πεντεκαίδεκα σπεῖραι μετὰ Καληνοῦ κάθηνται
others and fifteen cohorts with Calenus are-stationed
περὶ Μέγαρα καὶ Ἀθήνας, ἠρώτησεν εἴτε βούλονται
around Megara and Athens asked whether they-wish
περιμένειν ἐκείνους, εἴτε αὐτοὶ διακινδυνεῦσαι καθ' ἑαυτούς.
to-await them or themselves to-risk-the-fight by themselves
οἱ δὲ ἀνεβόησαν δεόμενοι μὴ περιμένειν, ἀλλὰ μᾶλλον,
they and cried-out begging not to-wait but rather
ὅπως τάχιστα συνίασιν εἰς χεῖρας τοῖς πολεμίοις,
how soonest they-come to hands with-the enemy
τεχνάζεσθαι καὶ στρατηγεῖν. ποιουμένῳ δὲ καθαρμὸν αὐτῷ
to-contrive and to-play-the-general making and a-purification him
τῆς δυνάμεως καὶ θύσαντι τὸ πρῶτον ἱερεῖον εὐθὺς ὁ
of-the army and having-sacrificed the first victim at-once the
μάντις ἔφραζε τριῶν ἡμερῶν μάχῃ κριθήσεσθαι πρὸς
seer declared in-three days in-battle there-will-be-a-decision against
τοὺς πολεμίους. ἐρομένου δὲ τοῦ Καίσαρος εἰ καὶ περὶ
the enemy having-asked and — of-Caesar whether also about
τοῦ τέλους ἐνορᾷ τι τοῖς ἱεροῖς εὔσημον, "Αὐτὸς ἄν,"
the outcome he-sees anything in-the victims auspicious yourself —
ἔφη, "σὺ τοῦτο βέλτιον ὑποκρίναιο σαυτῷ. μεγάλην γὰρ
he-said you this better could-interpret for-yourself great for
οἱ θεοὶ μεταβολὴν καὶ μετάπτωσιν ἐπὶ τὰ ἐναντία τῶν
the gods change and reversal to the opposite of-the
καθεστώτων δηλοῦσιν, ὥστε εἰ μὲν εὖ πράττειν ἡγῇ
established(-state) show so-that if indeed well to-fare you-think
σεαυτὸν ἐπὶ τῷ παρόντι, τὴν χείρονα προσδόκα τύχην· εἰ
yourself in the present the worse expect fortune if

δὲ κακῶς, τὴν ἀμείνονα.” τῇ δὲ πρὸ τῆς μάχης νυκτὶ
but badly the better on-the and before the battle night
τὰς φυλακὰς ἐφοδεύοντος αὐτοῦ περὶ τὸ μεσονύκτιον ὤφθη
the watches going-round him about the midnight was-seen
λαμπὰς οὐρανίου πυρός, ἣν ὑπερενεχθεῖσαν τὸ Καίσαρος
a-torch of-heavenly fire which having-passed-over the of-Caesar
στρατόπεδον λαμπρὰν καὶ φλογώδη γενομένην ἔδοξεν
camp bright and flaming having-become seemed
εἰς τὸ Πομπηΐου καταπεσεῖν. ἑωθινῆς δὲ φυλακῆς καὶ
into the of-Pompey to-fall at-the-morning and watch also
πανικὸν τάραχον ᾔσθοντο γιγνόμενον παρὰ τοῖς πολεμίοις.
panic confusion they-perceived occurring among the enemy
οὐ μὴν μαχεῖσθαί γε κατ᾽ ἐκείνην προσεδόκα τὴν
not indeed to-fight at-least on that he-expected the
ἡμέραν, ἀλλὰ ὡς ἐπὶ Σκοτούσσης ὁδεύων ἀνεζεύγνυεν.
day but as toward Scotussa marching he-was-breaking-camp
44 Ἐπεὶ δὲ τῶν σκηνῶν ἤδη καταλελυμένων οἱ σκοποὶ
when and the tents already having-been-taken-down the scouts
προσίππευσαν αὐτῷ τοὺς πολεμίους ἐπὶ μάχῃ καταβαίνειν
rode-up to-him the enemy for battle coming-down
ἀπαγγέλλοντες, περιχαρὴς γενόμενος καὶ προσευξάμενος
reporting overjoyed having-become and having-prayed
τοῖς θεοῖς παρέταττε τὴν φάλαγγα, τὴν τάξιν τριπλῆν
to-the gods he-drew-up the phalanx the order triple
ποιῶν. καὶ τοῖς μὲν μέσοις ἐπέστησε Καλβῖνον Δομίτιον,
making and over-the indeed center he-set Calvinus Domitius
τῶν δὲ κεράτων τὸ μὲν εἶχεν Ἀντώνιος, αὐτὸς δὲ τὸ
of-the and wings the one held Antony he and the
δεξιόν, ἐν τῷ δεκάτῳ τάγματι μέλλων μάχεσθαι. κατὰ
right in the tenth legion going to-fight opposite
τοῦτο δὲ τοὺς τῶν πολεμίων ἱππεῖς ἀντιπαραττομένους
this and the of-the enemy horsemen being-arrayed-against(-him)

ὁρῶν, καὶ δεδοικὼς τὴν λαμπρότητα καὶ τὸ πλῆθος αὐτῶν,
seeing and fearing the splendor and the number of-them
ἀπὸ τῆς ἐσχάτης τάξεως ἀδήλως ἐκέλευσε περιελθεῖν πρὸς
from the last line secretly he-ordered to-come-round to
ἑαυτὸν ἓξ σπείρας καὶ κατόπιν ἔστησε τοῦ δεξιοῦ,
himself six cohorts and behind stationed(-them) the right
διδάξας ἃ χρὴ ποιεῖν ὅταν οἱ τῶν πολεμίων
having-taught(-them) what they-must to-do whenever the of-the enemy
ἱππεῖς προσφέρωνται. Πομπήϊος δὲ τὸ μὲν αὐτὸς εἶχε
horsemen charge Pompey and the one himself held
τῶν κεράτων, τὸ δ' εὐώνυμον Δομίτιος, τοῦ δὲ μέσου
of-the wings the and left Domitius the and center
Σκηπίων ἦρχεν ὁ πενθερός. οἱ δὲ ἱππεῖς ἅπαντες
Scipio commanded the father-in-law the and horsemen all
ἐπὶ τὸ ἀριστερὸν ἔβρισαν ὡς τὸ δεξιὸν κυκλωσόμενοι
on the left pressed-heavily as the right going-to-encircle
τῶν πολεμίων καὶ λαμπρὰν περὶ αὐτὸν τὸν ἡγεμόνα
of-the enemy and brilliant around himself the commander
ποιησόμενοι τροπήν· οὐδὲν γὰρ ἀνθέξειν βάθος ὁπλιτικῆς
going-to-make rout nothing for would-withstand depth of-hoplite
φάλαγγος, ἀλλὰ συντρῴεσθαι καὶ καταρράξεσθαι πάντα
phalanx but would-be-crushed and would-be-broken all-things
τοῖς ἐναντίοις ἐπιβολῆς ἅμα τοσούτων ἱππέων γενομένης.
for-the opponents an-onset at-once of-so-many horsemen having-occurred
Ἐπεὶ δὲ σημαίνειν ἔμελλον ἀμφότεροι τὴν ἔφοδον,
when and to-signal were-about both the attack
Πομπήϊος μὲν ἐκέλευσε τοὺς ὁπλίτας ἑστῶτας ἐν
Pompey indeed ordered the hoplites standing in
προβολῇ καὶ μένοντας ἀραρότως δέχεσθαι τὴν ἐπιδρομὴν
forward-position and remaining firmly to-receive the charge
τῶν πολεμίων, μέχρι ἂν ὑσσοῦ βολῆς ἐντὸς γένωνται.
of-the enemy until — of-javelin cast within they-come

Καῖσαρ δὲ καὶ περὶ τοῦτο διαμαρτεῖν φησιν αὐτόν,
Caesar but also about this to-have-erred says him
ἀγνοήσαντα τὴν μετὰ δρόμου καὶ φορᾶς ἐν ἀρχῇ γινομένην
not-knowing the with running and impetus at beginning occurring
σύρραξιν, ὡς ἔν τε ταῖς πληγαῖς βίαν προστίθησι καὶ
clash how in both the blows force it-adds and
συνεκκαίει τὸν θυμὸν ἐκ πάντων ἀναρριπιζόμενον. αὐτὸς
kindles the spirit from all fanned-up he
δὲ κινεῖν τὴν φάλαγγα μέλλων καὶ προϊὼν ἐπ᾽ ἔργον
and to-move the phalanx about and advancing to action
ἤδη πρῶτον ὁρᾷ τῶν ταξιάρχων ἄνδρα πιστὸν αὐτῷ
already first sees of-the centurions a-man faithful to-him
καὶ πολέμων ἔμπειρον, ἐπιθαρσύνοντα τοὺς ὑφ᾽ αὑτῷ
and of-wars experienced encouraging those under him
καὶ προκαλούμενον εἰς ἅμιλλαν ἀλκῆς, τοῦτον ὀνομαστὶ
and challenging(-them) to rivalry of-prowess this-one by-name
προσαγορεύσας, “Τί ἐλπίζομεν,” εἶπεν, “ὦ Γάϊε Κρασσίνιε,
having-addressed what do-we-hope he-said O Gaius Crassinius
καὶ πῶς τι θάρσους ἔχομεν;” ὁ δὲ Κρασσίνιος
and how something of-confidence have-we — and Crassinius
ἐκτείνας τὴν δεξιὰν καὶ μέγα βοήσας, “Νικήσομεν,”
having-stretched-out the right-hand and loudly having-shouted we-shall-conquer
ἔφη, “λαμπρῶς, ὦ Καῖσαρ· ἐμὲ δὲ ἢ ζῶντα τήμερον
he-said splendidly O Caesar me and either living today
ἢ τεθνηκότα ἐπαινέσεις.” ταῦτα εἰπὼν πρῶτος ἐμβάλλει
or dead you-will-praise these-things having-said first he-charges
τοῖς πολεμίοις δρόμῳ, συνεπισπασάμενος τοὺς περὶ
the enemy at-a-run having-drawn-along those around
ἑαυτὸν ἑκατὸν καὶ εἴκοσι στρατιώτας. διακόψας δὲ
himself hundred and twenty soldiers having-cut-through and
τοὺς πρώτους καὶ πρόσω χωρῶν φόνῳ πολλῷ
the first(-ranks) and forward advancing with-slaughter great

καὶ βιαζόμενος ἀνακόπτεται ξίφει πληγεὶς διὰ τοῦ
and forcing(-his-way) he-is-checked with-a-sword struck through the
στόματος, ὥστε καὶ τὴν αἰχμὴν ὑπὲρ τὸ ἰνίον ἀνασχεῖν.
mouth so-that even the point beyond the nape to-stand-out

XII · VICTORY AND ALEXANDRIA

Caesar's cohorts break Pompey's cavalry by striking at their faces; Pompey flees, and Caesar, surveying the dead, says they forced it on him. He spares many, Brutus among them; omens of victory are told at Tralles and Patavium. In Egypt he weeps at Pompey's signet ring, and Apollodorus smuggles Cleopatra to him in a bedding sack. He survives Pothinus' plot; in the Alexandrian war his fire spreads to the library, he swims off with his papers, and he leaves Cleopatra queen.

Οὕτω δὲ τῶν πεζῶν κατὰ τὸ μέσον συρραγέντων καὶ 45
thus and the infantry in the center having-clashed and
μαχομένων, ἀπὸ τοῦ κέρατος οἱ Πομπηΐου ἱππεῖς σοβαρῶς
fighting from the wing the of-Pompey horsemen proudly
ἐπήλαυνον εἰς κύκλωσιν τοῦ δεξιοῦ τὰς ἴλας ἀναχεόμενοι·
rode-up for encirclement of-the right the squadrons deploying
καὶ πρὶν ἢ προσβαλεῖν αὐτοὺς ἐκτρέχουσιν αἱ σπεῖραι παρὰ
and before — to-charge them run-out the cohorts from
Καίσαρος, οὐχ, ὥσπερ εἰώθεσαν, ἀκοντίσμασι χρώμενοι
Caesar not as they-were-accustomed as-missiles using
τοῖς ὑσσοῖς, οὐδὲ μηροὺς παίοντες ἐκ χειρὸς ἢ κνήμας τῶν
the javelins nor thighs striking at hand or shins of-the
πολεμίων, ἀλλὰ τῶν ὄψεων ἐφιέμενοι καὶ τὰ πρόσωπα
enemy but at-the eyes aiming and the faces
συντιτρώσκοντες, ὑπὸ Καίσαρος δεδιδαγμένοι τοῦτο ποιεῖν,
wounding by Caesar taught this to-do
ἐλπίζοντος ἄνδρας οὐ πολλὰ πολέμοις οὐδὲ τραύμασιν
hoping men not much with-wars nor with-wounds

ὡμιληκότας, νέους δὲ καὶ κομῶντας ἐπὶ κάλλει καὶ ὥρᾳ,
having-associated young but and wearing-long-hair for beauty and youth
μάλιστα τὰς τοιαύτας πληγὰς ὑπόψεσθαι καὶ μὴ μενεῖν,
most the such blows to-dread and not to-stand
τὸν ἐν τῷ παρόντι κίνδυνον ἅμα καὶ τὴν αὖθις αἰσχύνην
the in the present danger at-once and the afterward disgrace
δεδοικότας. ὃ δὴ καὶ συνέβαινεν· οὐ γὰρ ἠνείχοντο
fearing which indeed also happened not for they-endured
τῶν ὑσσῶν ἀναφερομένων, οὐδὲ ἐτόλμων ἐν ὀφθαλμοῖς τὸν
the javelins being-brought-up nor dared in eyes the
σίδηρον ὁρῶντες, ἀλλ᾽ ἀπεστρέφοντο καὶ συνεκαλύπτοντο
iron seeing but they-turned-away and covered(-their-faces)
φειδόμενοι τῶν προσώπων· καὶ τέλος οὕτως ταράξαντας
sparing the faces and finally thus having-confused
ἑαυτοὺς ἐτράποντο φεύγειν αἴσχιστα, λυμηνάμενοι τὸ
themselves they-turned to-flee most-shamefully having-ruined the
σύμπαν. εὐθὺς γὰρ οἱ μὲν νενικηκότες τούτους ἐκυκλοῦντο
whole at-once for the indeed having-conquered these encircled
τοὺς πεζοὺς καὶ κατὰ νώτου προσπίπτοντες ἔκοπτον.
the infantry and at back falling-on cut(-them)-down
Πομπήϊος δὲ ὡς κατεῖδεν ἀπὸ θατέρου τοὺς ἱππεῖς φυγῇ
Pompey and when he-saw from the-other(-wing) the horsemen in-flight
σκεδασθέντας, οὐκέτι ἦν ὁ αὐτὸς οὐδ᾽ ἐμέμνητο Πομπήϊος
scattered no-longer he-was the same nor remembered Pompey
ὢν Μάγνος, ἀλλ᾽ ὑπὸ θεοῦ μάλιστα βλαπτομένῳ τὴν γνώμην
being Magnus but by a-god most harmed in-the mind
ἐοικὼς ἄφθογγος ᾤχετο ἀπιὼν ἐπὶ σκηνήν, καὶ καθεζόμενος
like speechless went going-off to tent and sitting-down
ἐκαραδόκει τὸ μέλλον, ἄχρι οὗ τροπῆς ἁπάντων γενομένης
awaited the outcome until which a-rout of-all having-occurred
ἐπέβαινον οἱ πολέμιοι τοῦ χάρακος καὶ διεμάχοντο πρὸς
mounted the enemy the palisade and fought-it-out against

τοὺς φυλάττοντας. τότε δὲ ὥσπερ ἔννους γενόμενος, καὶ
the guards then and as-if sensible having-become and
ταύτην μόνην, ὥς φασι, φωνὴν ἀφείς, "Οὐκοῦν καὶ
this only as they-say word having-uttered so even
ἐπὶ τὴν παρεμβολήν;" ἀπεδύσατο μὲν τὴν ἐναγώνιον καὶ
into the camp he-took-off indeed the fighting and
στρατηγικὴν ἐσθῆτα, φεύγοντι δὲ πρέπουσαν μεταλαβὼν
generals' clothing for-a-fugitive and fitting having-put-on
ὑπεξῆλθεν. ἀλλ' οὗτος μὲν οἵαις ὕστερον χρησάμενος
slipped-away but this-man indeed what later having-met
τύχαις ὅπως τε παραδοὺς ἑαυτὸν τοῖς Αἰγυπτίοις
fortunes how and having-surrendered himself to-the Egyptian
ἀνδράσιν ἀνῃρέθη, δηλοῦμεν ἐν τοῖς περὶ ἐκείνου γράμμασιν.
men he-was-killed we-show in the about him writings
Ὁ δὲ Καῖσαρ ὡς ἐν τῷ χάρακι τοῦ Πομπηΐου γενόμενος 46
— and Caesar when in the palisade — of-Pompey having-come
τούς τε κειμένους νεκροὺς ἤδη τῶν πολεμίων εἶδε καὶ τοὺς
the both lying corpses already of-the enemy saw and those
ἔτι κτεινομένους, εἶπεν ἄρα στενάξας· "Τοῦτο ἐβουλήθησαν,
still being-slain said then having-groaned this they-wished
εἰς τοῦτό με ἀνάγκης ὑπηγάγοντο, ἵνα Γάϊος Καῖσαρ
into this me of-necessity they-brought so-that Gaius Caesar
ὁ μεγίστους πολέμους κατορθώσας, εἰ προηκάμην τὰ
the greatest wars having-achieved if I-had-let-go the
στρατεύματα, κἂν κατεδικάσθην." ταῦτά φησι Πολλίων
armies even would-have-been-condemned these-things says Pollio
Ἀσίννιος τὰ ῥήματα Ῥωμαϊστὶ μὲν ἀναφθέγξασθαι τὸν
Asinius the words in-Latin indeed to-have-cried-out —
Καίσαρα παρὰ τὸν τότε καιρόν, Ἑλληνιστὶ δ' ὑπ' αὐτοῦ
Caesar at the then moment in-Greek and by him
γεγράφθαι· τῶν δὲ ἀποθανόντων τοὺς πλείστους οἰκέτας
to-have-been-written of-the and dead the most servants

γενέσθαι περὶ τὴν κατάληψιν τοῦ χάρακος ἀναιρεθέντας,
to-have-been at the seizure of-the palisade killed
στρατιώτας δὲ μὴ πλείους ἑξακισχιλίων πεσεῖν. τῶν δὲ
soldiers and not more than-six-thousand to-have-fallen of-the and
ζώντων ἁλόντων κατέμιξε τοὺς πλείστους ὁ Καῖσαρ εἰς
living captured incorporated the most — Caesar into
τὰ τάγματα· πολλοῖς δὲ καὶ τῶν ἐπιφανῶν ἄδειαν ἔδωκεν,
the legions to-many and also of-the notables amnesty he-gave
ὧν καὶ Βροῦτος ἦν ὁ κτείνας αὐτὸν ὕστερον, ἐφ᾽
of-whom also Brutus was the(-one) having-killed him later at
ᾧ λέγεται μὴ φαινομένῳ μὲν ἀγωνιᾶσαι, σωθέντος δὲ
whom it-is-said not appearing indeed to-have-been-anxious saved and
καὶ παραγενομένου πρὸς αὐτὸν ἡσθῆναι διαφερόντως.
and having-come to him to-have-been-pleased exceedingly
47 Σημείων δὲ πολλῶν γενομένων τῆς νίκης ἐπιφανέστατον
of-signs and many having-occurred of-the victory the-most-conspicuous
ἱστορεῖται τὸ περὶ Τράλλεις. ἐν γὰρ ἱερῷ Νίκης
is-recorded the(-one) at Tralles in for temple of-Victory
ἀνδριὰς εἵστήκει Καίσαρος, καὶ τὸ περὶ αὐτῷ χωρίον αὐτό
a-statue stood of-Caesar and the around it ground itself
τε στερεὸν φύσει καὶ λίθῳ σκληρῷ κατεστρωμένον ἦν
both hard by-nature and with-stone hard paved was
ἄνωθεν· ἐκ τούτου λέγουσιν ἀνατεῖλαι φοίνικα παρὰ τὴν
above from this they-say to-have-sprung-up a-palm beside the
βάσιν τοῦ ἀνδριάντος. ἐν δὲ Παταβίῳ Γάϊος Κορνήλιος,
base of-the statue in and Patavium Gaius Cornelius
ἀνὴρ εὐδόκιμος ἐπὶ μαντικῇ, Λιβίου τοῦ συγγραφέως
a-man of-good-repute for divination of-Livy the historian
πολίτης καὶ γνώριμος, ἐτύγχανεν ἐπ᾽ οἰωνοῖς καθήμενος
fellow-citizen and acquaintance happened for auguries sitting
ἐκείνην τὴν ἡμέραν. καὶ πρῶτον μέν, ὡς Λίβιός φησι, τὸν
that the day and first indeed as Livy says the

καιρὸν ἔγνω τῆς μάχης, καὶ πρὸς τοὺς παρόντας εἶπεν ὅτι
moment he-knew of-the battle and to those present said that
καὶ δὴ περαίνεται τὸ χρῆμα καὶ συνίασιν εἰς ἔργον οἱ
already indeed is-being-decided the matter and are-joining into action the
ἄνδρες. αὖθις δὲ πρὸς τῇ θέᾳ γενόμενος καὶ τὰ σημεῖα
men again and to the observation having-come and the signs
κατιδὼν ἀνήλατο μετ᾽ ἐνθουσιασμοῦ βοῶν, "Νικᾷς, ὦ
having-observed he-leapt-up with enthusiasm shouting you-conquer O
Καῖσαρ." ἐκπλαγέντων δὲ τῶν παρατυχόντων περιελὼν
Caesar amazed and those happening-to-be-present having-taken-off
τὸν στέφανον ἀπὸ τῆς κεφαλῆς ἐνωμότως ἔφη μὴ πρὶν
the wreath from the head on-oath he-said not before
ἐπιθήσεσθαι πάλιν ἢ τῇ τέχνῃ μαρτυρῆσαι τὸ ἔργον.
to-put-it-on again than to-the art to-bear-witness the event
ταῦτα μὲν οὖν ὁ Λίβιος οὕτως γενέσθαι καταβεβαιοῦται.
these-things indeed then — Livy thus to-have-happened confirms
Καῖσαρ δὲ τῷ Θετταλῶν ἔθνει τὴν ἐλευθερίαν ἀναθεὶς 48
Caesar and to-the of-Thessalians nation the freedom having-dedicated
νικητήριον ἐδίωκε Πομπήϊον· ἀψάμενος δὲ τῆς Ἀσίας
as-a-victory-offering pursued Pompey having-reached and — of-Asia
Κνιδίους τε Θεοπόμπῳ τῷ συναγαγόντι τοὺς μύθους
Cnidians both to-Theopompus the(-one) having-collected the myths
χαριζόμενος ἠλευθέρωσε, καὶ πᾶσι τοῖς τὴν Ἀσίαν
doing-a-favor he-freed and to-all those — Asia
κατοικοῦσι τὸ τρίτον τῶν φόρων ἀνῆκεν. εἰς δὲ
inhabiting the third of-the tributes he-remitted to and
Ἀλεξάνδρειαν ἐπὶ Πομπηΐῳ τεθνηκότι καταχθεὶς Θεόδοτον
Alexandria at Pompey having-died having-put-in Theodotus
μὲν ἀπεστράφη τὴν Πομπηΐου κεφαλὴν προσφέροντα, τὴν
indeed he-turned-from the of-Pompey head presenting the
δὲ σφραγῖδα δεξάμενος τοῦ ἀνδρὸς κατεδάκρυσεν· ὅσοι
and seal having-received of-the man wept as-many-as

δὲ τῶν ἑταίρων αὐτοῦ καὶ συνήθων πλανώμενοι κατὰ τὴν
and of-the companions his and intimates wandering about the
χώραν ἑαλώκεσαν ὑπὸ τοῦ βασιλέως, πάντας εὐεργέτησε
country had-been-captured by the king all he-benefited
καὶ προσηγάγετο. τοῖς δὲ φίλοις εἰς Ῥώμην ἔγραφεν
and won-over to-the and friends to Rome he-wrote
ὅτι τῆς νίκης ἀπολαύοι τοῦτο μέγιστον καὶ ἥδιστον, τὸ
that of-the victory he-enjoyed this greatest and sweetest the
σώζειν τινὰς ἀεὶ τῶν πεπολεμηκότων πολιτῶν αὐτῷ.
to-save some always of-the having-warred citizens against-him
Τὸν δὲ αὐτόθι πόλεμον οἱ μὲν οὐκ ἀναγκαῖον, ἀλλ' ἔρωτι
the and there war the some not necessary but from-love
Κλεοπάτρας ἄδοξον αὐτῷ καὶ κινδυνώδη γενέσθαι λέγουσιν,
of-Cleopatra inglorious for-him and dangerous to-have-been say
οἱ δὲ τοὺς βασιλικοὺς αἰτιῶνται, καὶ μάλιστα τὸν
the(-others) but the king's-party blame and especially the
εὐνοῦχον Ποθεινόν, ὃς πλεῖστον δυνάμενος καὶ Πομπήϊον
eunuch Pothinus who most having-power and Pompey
μὲν ἀνῃρηκὼς ἔναγχος, ἐκβεβληκὼς δὲ Κλεοπάτραν,
indeed having-killed lately having-banished and Cleopatra
κρύφα μὲν ἐπεβούλευε τῷ Καίσαρι· καὶ διὰ τοῦτό
secretly indeed plotted — against-Caesar and because-of this
φασιν αὐτὸν ἀρξάμενον ἔκτοτε διανυκτερεύειν ἐν τοῖς
they-say him having-begun from-then to-spend-the-night in the
πότοις ἕνεκα φυλακῆς τοῦ σώματος· φανερῶς δὲ
drinking-bouts for-the-sake-of protection of-the body openly but
οὐκ ἦν ἀνεκτὸς ἐπίφθονα πολλὰ καὶ πρὸς ὕβριν εἰς τὸν
not was tolerable odious-things many and for insult toward —
Καίσαρα λέγων καὶ πράττων. τοὺς μὲν γὰρ στρατιώτας
Caesar saying and doing the indeed for soldiers
τὸν κάκιστον μετρουμένους καὶ παλαιότατον σῖτον ἐκέλευσεν
the worst being-measured and oldest grain he-bade

ἀνέχεσθαι καὶ στέργειν, ἐσθίοντας τὰ ἀλλότρια, πρὸς δὲ
to-put-up-with and to-be-content eating the others' at but
τὰ δεῖπνα σκεύεσιν ἐχρῆτο ξυλίνοις καὶ κεραμεοῖς, ὡς τὰ
the dinners vessels he-used wooden and earthen as the
χρυσᾶ καὶ ἀργυρᾶ πάντα Καίσαρος ἔχοντος εἴς τι χρέος.
gold and silver all Caesar holding for some debt
ὤφειλε γὰρ ὁ τοῦ βασιλεύοντος τότε πατὴρ Καίσαρι
owed for the of-the reigning then father to-Caesar
χιλίας ἑπτακοσίας πεντήκοντα μυριάδας, ὧν τὰς μὲν
thousand seven-hundred fifty ten-thousands of-which the indeed
ἄλλας ἀνῆκε τοῖς παισὶν αὐτοῦ πρότερον ὁ Καῖσαρ, τὰς
others had-remitted to-the children his formerly — Caesar the
δὲ χιλίας ἠξίου τότε λαβὼν διαθρέψαι τὸ στράτευμα.
and thousand thought-it-right then having-taken to-maintain the army
τοῦ δὲ Ποθεινοῦ νῦν μὲν αὐτὸν ἀπιέναι καὶ τῶν μεγάλων
— and of-Pothinus now indeed him to-go-away and the great
ἔχεσθαι πραγμάτων κελεύοντος, ὕστερον δὲ κομιεῖσθαι μετὰ
to-attend-to affairs bidding later and to-get(-it) with
χάριτος, εἰπὼν ὡς Αἰγυπτίων ἐλάχιστα δέοιτο συμβούλων,
gratitude having-said that of-Egyptians least he-needed as-counselors
κρύφα τὴν Κλεοπάτραν ἀπὸ τῆς χώρας μετεπέμπετο.
secretly — Cleopatra from the country he-sent-for
Κἀκείνη παραλαβοῦσα τῶν φίλων Ἀπολλόδωρον τὸν 49
and-she having-taken of-the friends Apollodorus the
Σικελιώτην μόνον, εἰς ἀκάτιον μικρὸν ἐμβᾶσα τοῖς μὲν
Sicilian only into a-skiff small having-embarked at-the indeed
βασιλείοις προσέσχεν ἤδη συσκοτάζοντος· ἀπόρου δὲ τοῦ
palace put-in already growing-dark impossible and the
λαθεῖν ὄντος ἄλλως, ἡ μὲν εἰς στρωματόδεσμον ἐνδῦσα
to-escape-notice being otherwise she indeed into a-bedding-bag having-slipped
προτείνει μακρὰν ἑαυτήν, ὁ δὲ Ἀπολλόδωρος ἱμάντι
stretches-out at-length herself — and Apollodorus with-a-strap

συνδήσας τὸν στρωματόδεσμον εἰσκομίζει διὰ θυρῶν πρὸς
having-tied the bedding-bag carries(-it)-in through doors to
τὸν Καίσαρα. καὶ τούτῳ τε πρώτῳ λέγεται τῷ τεχνήματι
— Caesar and by-this both first is-said the device
τῆς Κλεοπάτρας ἁλῶναι, λαμυρᾶς φανείσης, καὶ
— of-Cleopatra to-have-been-captivated saucy having-appeared and
τῆς ἄλλης ὁμιλίας καὶ χάριτος ἥττων γενόμενος διαλλάξαι
by-the other converse and charm overcome having-become to-reconcile(-her)
πρὸς τὸν ἀδελφὸν ὡς συμβασιλεύσουσαν. ἔπειτα δ' ἐν ταῖς
with the brother as going-to-reign-with(-him) then and at the
διαλλαγαῖς ἑστιωμένων ἁπάντων οἰκέτης Καίσαρος κουρεύς,
reconciliation feasting all a-servant of-Caesar barber
διὰ δειλίαν, ᾗ πάντας ἀνθρώπους ὑπερέβαλεν, οὐδὲν
through timidity in-which all men he-surpassed nothing
ἐὼν ἀνεξέταστον, ἀλλ' ὠτακουστῶν καὶ πολυπραγμονῶν,
leaving unexamined but eavesdropping and prying
συνῆκεν ἐπιβουλὴν Καίσαρι πραττομένην ὑπ' Ἀχιλλᾶ τοῦ
discovered a-plot against-Caesar being-contrived by Achillas the
στρατηγοῦ καὶ Ποθεινοῦ τοῦ εὐνούχου. φωράσας δὲ ὁ
general and Pothinus the eunuch having-detected and —
Καῖσαρ φρουρὰν μὲν περιέστησε τῷ ἀνδρῶνι, τὸν δὲ
Caesar a-guard indeed set-around the banquet-hall — and
Ποθεινὸν ἀνεῖλεν· ὁ δὲ Ἀχιλλᾶς φυγὼν εἰς τὸ στρατόπεδον
Pothinus he-killed — and Achillas having-fled to the camp
περιΐστησιν αὐτῷ βαρὺν καὶ δυσμεταχείριστον πόλεμον,
raises-around him heavy and hard-to-manage war
ὀλιγοστῷ τοσαύτην ἀμυνομένῳ πόλιν καὶ δύναμιν. ἐν
being-very-few against-so-great defending-himself city and force in
ᾧ πρῶτον μὲν ἐκινδύνευσεν ὕδατος ἀποκλεισθείς·
which first indeed he-was-in-danger from-water cut-off
αἱ γὰρ διώρυχες ἀπῳκοδομήθησαν ὑπὸ τῶν πολεμίων·
the for canals were-dammed-up by the enemy

δεύτερον δὲ περικοπτόμενος τὸν στόλον ἠναγκάσθη διὰ
second and being-cut-off the fleet he-was-forced through
πυρὸς ἀπώσασθαι τὸν κίνδυνον, ὃ καὶ τὴν μεγάλην
fire to-repel the danger which also the great
βιβλιοθήκην ἐκ τῶν νεωρίων ἐπινεμόμενον διέφθειρε·
library from the dockyards spreading destroyed
τρίτον δὲ περὶ τῇ Φάρῳ μάχης συνεστώσης κατεπήδησε
third and near the Pharos a-battle having-arisen he-leapt-down
μὲν ἀπὸ τοῦ χώματος εἰς ἀκάτιον καὶ παρεβοήθει τοῖς
indeed from the mole into a-skiff and went-to-help those
ἀγωνιζομένοις, ἐπιπλεόντων δὲ πολλαχόθεν αὐτῷ τῶν
fighting sailing-against and from-many-sides him the
Αἰγυπτίων ῥίψας ἑαυτὸν εἰς τὴν θάλασσαν ἀπενήξατο
Egyptians having-thrown himself into the sea he-swam-off
μόλις καὶ χαλεπῶς. ὅτε καὶ λέγεται βιβλίδια κρατῶν
barely and with-difficulty when also it-is-said papers holding
πολλὰ μὴ προέσθαι βαλλόμενος καὶ βαπτιζόμενος, ἀλλ'
many not to-have-let-go being-pelted and being-ducked but
ἀνέχων ὑπὲρ τῆς θαλάσσης τὰ βιβλίδια τῇ ἑτέρᾳ χειρὶ
holding above the sea the papers with-the other hand
νήχεσθαι· τὸ δὲ ἀκάτιον εὐθὺς ἐβυθίσθη. τέλος δέ, τοῦ
to-swim the and skiff at-once was-sunk finally and the
βασιλέως πρὸς τοὺς πολεμίους ἀποχωρήσαντος, ἐπελθὼν
king to the enemy having-gone-over having-attacked
καὶ συνάψας μάχην ἐνίκησε, πολλῶν πεσόντων αὐτοῦ
and having-joined battle he-conquered many having-fallen himself
τε τοῦ βασιλέως ἀφανοῦς γενομένου. καταλιπὼν δὲ τὴν
and the king vanished having-become having-left and —
Κλεοπάτραν βασιλεύουσαν Αἰγύπτου καὶ μικρὸν ὕστερον
Cleopatra reigning-over Egypt and a-little later

ἐξ αὐτοῦ τεκοῦσαν υἱόν, ὃν Ἀλεξανδρεῖς Καισαρίωνα
by him having-borne a-son whom Alexandrians Caesarion
προσηγόρευον, ὥρμησεν ἐπὶ Συρίας.
called he-set-out for Syria

XIII · ZELA, THAPSUS, AND CATO

Caesar crushes Pharnaces at Zela and reports, "I came, I saw, I conquered." In Rome his friends' excesses and a mutiny tarnish him. In Africa he sets up a Scipio of his own against the prophecy, survives defeats, and destroys Scipio, Afranius, and Juba at Thapsus, though some say a seizure kept him from the battle. He laments that Cato's suicide robbed him of sparing him, and answers Cicero's praise of Cato with his Anticato.

50 Κἀκεῖθεν ἐπιὼν τὴν Ἀσίαν ἐπυνθάνετο Δομίτιον μὲν ὑπὸ
and-thence going-through — Asia he-learned Domitius indeed by
Φαρνάκου τοῦ Μιθριδάτου παιδὸς ἡττημένον ἐκ Πόντου
Pharnaces the of-Mithridates son defeated from Pontus
πεφευγέναι σὺν ὀλίγοις, Φαρνάκην δὲ τῇ νίκῃ χρώμενον
to-have-fled with few Pharnaces and the victory using
ἀπλήστως καὶ Βιθυνίαν ἔχοντα καὶ Καππαδοκίαν Ἀρμενίας
insatiably and Bithynia holding and Cappadocia Armenia
ἐφίεσθαι τῆς μικρᾶς καλουμένης, καὶ πάντας ἀνιστάναι τοὺς
aiming-at the lesser called and all rousing-up the
ταύτῃ βασιλεῖς καὶ τετράρχας. εὐθὺς οὖν ἐπὶ τὸν ἄνδρα
there kings and tetrarchs at-once then against the man
τρισὶν ἤλαυνε τάγμασι, καὶ περὶ πόλιν Ζῆλαν μάχην
with-three he-marched legions and near a-city Zela battle
μεγάλην συνάψας αὐτὸν μὲν ἐξέβαλε τοῦ Πόντου φεύγοντα,
great having-joined him indeed he-drove-out of-the Pontus fleeing
τὴν δὲ στρατιὰν ἄρδην ἀνεῖλε. καὶ τῆς μάχης ταύτης τὴν
the and army utterly destroyed and of-the battle this the

ὀξύτητα καὶ τὸ τάχος ἀναγγέλλων εἰς Ῥώμην πρός τινα
sharpness and the speed announcing to Rome to one
τῶν φίλων Ἀμάντιον ἔγραψε τρεῖς λέξεις· "Ἦλθον, εἶδον,
of-the friends Amantius he-wrote three words I-came I-saw
ἐνίκησα." Ῥωμαϊστὶ δὲ αἱ λέξεις εἰς ὅμοιον ἀπολήγουσαι
I-conquered in-Latin and the words to similar ending
σχῆμα ῥήματος οὐκ ἀπίθανον τὴν βραχυλογίαν ἔχουσιν.
form of-verb not unpersuasive the brevity have
Ἐκ τούτου διαβαλὼν εἰς Ἰταλίαν ἀνέβαινεν εἰς Ῥώμην, 51
from this having-crossed into Italy he-went-up to Rome
τοῦ μὲν ἐνιαυτοῦ καταστρέφοντος εἰς ὃν ᾑρητο
the indeed year ending for which he-had-been-chosen
δικτάτωρ τὸ δεύτερον, οὐδέποτε τῆς ἀρχῆς ἐκείνης πρότερον
dictator the second(-time) never the office that before
ἐνιαυσίου γενομένης· εἰς δὲ τοὐπιὸν ὕπατος ἀπεδείχθη.
yearly having-been for and the-coming(-year) consul he-was-appointed
καὶ κακῶς ἤκουσεν ὅτι τῶν στρατιωτῶν στασιασάντων
and ill he-heard because the soldiers having-mutinied
καὶ δύο στρατηγικοὺς ἄνδρας ἀνελόντων, Κοσκώνιον καὶ
and two praetorian men having-killed Cosconius and
Γάλβαν, ἐπετίμησε μὲν αὐτοῖς τοσοῦτον ὅσον ἀντὶ
Galba he-rebuked indeed them so-much as instead-of
στρατιωτῶν πολίτας προσαγορεῦσαι, χιλίας δὲ διένειμεν
soldiers citizens to-address(-them) thousand and he-distributed
ἑκάστῳ δραχμὰς καὶ χώραν τῆς Ἰταλίας ἀπεκλήρωσε
to-each drachmas and land — of-Italy allotted
πολλήν. ἦν δὲ αὐτοῦ διαβολὴ καὶ ἡ Δολοβέλλα μανία καὶ
much was and his discredit both the of-Dolabella madness and
ἡ Ἀμαντίου φιλαργυρία καὶ μεθύων Ἀντώνιος καὶ Κορφίνιος
the of-Amantius avarice and drunken Antony and Cornificius
τὴν Πομπηΐου σκευωρούμενος οἰκίαν καὶ μετοικοδομῶν ὡς
the of-Pompey refurbishing house and rebuilding(-it) as

ἱκανὴν οὐκ οὖσαν. ἐπὶ τούτοις γὰρ ἐδυσφόρουν Ῥωμαῖοι.
sufficient not being at these for were-displeased Romans
Καῖσαρ δὲ διὰ τὴν ὑπόθεσιν τῆς πολιτείας οὐκ ἀγνοῶν
Caesar and because-of the plan of-the policy not unaware
οὐδὲ βουλόμενος ἠναγκάζετο χρῆσθαι τοῖς ὑπουργοῦσι.
nor willing was-compelled to-use the helpers
52 Τῶν δὲ περὶ Κάτωνα καὶ Σκηπίωνα μετὰ τὴν ἐν
those and around Cato and Scipio after the at
Φαρσάλῳ μάχην εἰς Λιβύην φυγόντων κἀκεῖ, τοῦ βασιλέως
Pharsalus battle to Libya having-fled and-there the king
Ἰόβα βοηθοῦντος αὐτοῖς, ἠθροικότων δυνάμεις ἀξιολόγους,
Juba helping them having-gathered forces considerable
ἔγνω στρατεύειν ὁ Καῖσαρ ἐπ᾽ αὐτούς· καὶ περὶ τροπὰς
resolved to-march — Caesar against them and about solstice
χειμερινὰς διαβὰς εἰς Σικελίαν, καὶ βουλόμενος εὐθὺς
winter having-crossed to Sicily and wishing at-once
ἀποκόψαι τῶν περὶ αὐτὸν ἡγεμόνων ἅπασαν ἐλπίδα
to-cut-off of-the around him officers every hope
μελλήσεως καὶ διατριβῆς, ἐπὶ τοῦ κλύσματος ἔπηξε
of-delay and loitering on the beach he-pitched
τὴν ἑαυτοῦ σκηνήν· καὶ γενομένου πνεύματος ἐμβὰς
the his-own tent and having-arisen a-wind having-embarked
ἀνήχθη μετὰ τρισχιλίων πεζῶν καὶ ἱππέων ὀλίγων.
he-put-to-sea with three-thousand foot and horsemen few
ἀποβιβάσας δὲ τούτους λαθὼν ἀνήχθη πάλιν, ὑπὲρ τῆς
having-landed and these unobserved he-put-to-sea again for the
μείζονος ὀρρωδῶν δυνάμεως· καὶ κατὰ θάλατταν οὖσιν
greater fearing force and at sea being
ἤδη προστυχὼν κατήγαγεν ἅπαντας εἰς τὸ στρατόπεδον.
already having-met(-them) he-brought-down all into the camp

Πυνθανόμενος δὲ χρησμῷ τινι παλαιῷ θαρρεῖν τοὺς
learning and from-an-oracle some old to-be-confident the
πολεμίους, ὡς προσῆκον ἀεὶ τῷ Σκηπιώνων γένει κρατεῖν
enemy as belonging always to-the of-the-Scipios family to-prevail
ἐν Λιβύῃ, χαλεπὸν εἰπεῖν εἴτε φλαυρίζων ἐν παιδιᾷ τινι τὸν
in Libya hard to-say whether mocking in jest some —
Σκηπίωνα στρατηγοῦντα τῶν πολεμίων, εἴτε καὶ σπουδῇ
Scipio commanding the enemy or also in-earnest
τὸν οἰωνὸν οἰκειούμενος, ἦν γὰρ καὶ παρ' αὐτῷ τις
the omen appropriating there-was for also with him a
ἄνθρωπος ἄλλως μὲν εὐκαταφρόνητος καὶ παρημελημένος,
man otherwise indeed contemptible and of-no-account
οἰκίας δὲ τῆς Ἀφρικανῶν (Σκηπίων ἐκαλεῖτο Σαλλουστίων),
of-house but the of-the-Africani Scipio he-was-called Sallustio
τοῦτον ἐν ταῖς μάχαις προέταττεν ὥσπερ ἡγεμόνα τῆς
this-one in the battles he-put-in-front as-if commander of-the
στρατιᾶς, ἀναγκαζόμενος πολλάκις ἐξάπτεσθαι τῶν πολεμίων
army being-compelled often to-engage the enemy
καὶ φιλομαχεῖν. ἦν γὰρ οὔτε σῖτος τοῖς ἀνδράσιν
and to-seek-battle there-was for neither grain for-the men
ἄφθονος οὔτε ὑποζυγίοις χιλός, ἀλλὰ βρύοις ἠναγκάζοντο
abundant nor for-beasts fodder but with-seaweed they-were-compelled
θαλαττίοις, ἀποπλυθείσης τῆς ἁλμυρίδος, ὀλίγην ἄγρωστιν
marine washed-out the saltness a-little dog's-tooth-grass
ὥσπερ ἥδυσμα παραμιγνύντες ἐπάγειν τοὺς ἵππους. οἱ γὰρ
as seasoning mixing-in to-feed the horses the for
Νομάδες ἐπιφαινόμενοι πολλοὶ καὶ ταχεῖς ἑκάστοτε κατεῖχον
Numidians appearing many and swift each-time held
τὴν χώραν· καί ποτε τῶν Καίσαρος ἱππέων σχολὴν
the country and once the of-Caesar horsemen leisure
ἀγόντων (ἔτυχε γὰρ αὐτοῖς ἀνὴρ Λίβυς ἐπιδεικνύμενος
having it-happened for for-them a-man Libyan displaying

ὄρχησιν ἅμα καὶ μοναυλῶν θαύματος ἀξίως, οἱ δὲ
a-dance at-once and playing-the-flute of-wonder worthily they and
τερπόμενοι καθῆντο τοῖς παισὶ τοὺς ἵππους ἐπιτρέψαντες),
delighted sat to-the slaves the horses having-entrusted
ἐξαίφνης περιελθόντες ἐμβάλλουσιν οἱ πολέμιοι, καὶ τοὺς
suddenly having-surrounded attack the enemy and the
μὲν αὐτοῦ κτείνουσι, τοῖς δὲ εἰς τὸ στρατόπεδον
some there they-kill with-the others into the camp
προτροπάδην ἐλαυνομένοις συνεισέπεσον. εἰ δὲ μὴ Καῖσαρ
headlong being-driven burst-in if but not Caesar
αὐτός, ἅμα δὲ Καίσαρι Πολλίων Ἀσίννιος βοηθοῦντες
himself together-with and Caesar Pollio Asinius helping
ἐκ τοῦ χάρακος ἔσχον τὴν φυγήν, διεπέπρακτ' ἂν ὁ
from the palisade checked the flight would-have-been-finished — the
πόλεμος. ἔστι δ' ὅτε καὶ καθ' ἑτέραν μάχην ἐπλεονέκτησαν
war there-is and when also in another battle got-the-better
οἱ πολέμιοι συμπλοκῆς γενομένης, ἐν ᾗ Καῖσαρ τὸν
the enemy an-engagement having-occurred in which Caesar the
ἀετοφόρον φεύγοντα λέγεται κατασχὼν ἐκ τοῦ αὐχένος
eagle-bearer fleeing is-said having-seized by the neck
ἀναστρέψαι καὶ εἰπεῖν· "Ἐνταῦθα εἰσὶν οἱ πολέμιοι."
to-have-turned-around and to-have-said here are the enemy

53 Τούτοις μέντοι τοῖς προτερήμασιν ἐπήρθη Σκηπίων
by-these however the advantages was-elated Scipio
μάχῃ κριθῆναι· καὶ καταλιπὼν χωρὶς μὲν Ἀφράνιον,
by-battle to-be-decided and having-left apart indeed Afranius
χωρὶς δὲ Ἰόβαν δι' ὀλίγου στρατοπεδεύοντας, αὐτὸς
apart and Juba at little(-distance) encamping himself
ἐτείχιζεν ὑπὲρ λίμνης ἔρυμα τῷ στρατοπέδῳ περὶ
fortified above a-lake a-stronghold for-the camp near
πόλιν Θάψον, ὡς εἴη πᾶσιν ἐπὶ τὴν μάχην
a-city Thapsus so-that it-might-be for-all for the battle

ὁρμητήριον καὶ καταφυγή. πονουμένῳ δὲ αὐτῷ περὶ
a-base and refuge toiling and him at
ταῦτα Καῖσαρ ὑλώδεις τόπους καὶ προσβολὰς ἀφράστους
these-things Caesar wooded places and approaches unthought-of
ἔχοντας ἀμηχάνῳ τάχει διελθὼν τοὺς μὲν
having with-inconceivable speed having-passed-through the some
ἐκυκλοῦτο, τοῖς δὲ προσέβαλλε κατὰ στόμα. τρεψάμενος
he-surrounded the others he-attacked in front having-routed
δὲ τούτους ἐχρῆτο τῷ καιρῷ καὶ τῇ ῥύμῃ τῆς
and these he-used the opportunity and the momentum of-the
τύχης, ὑφ' ἧς αὐτοβοεὶ μὲν ᾕρει τὸ Ἀφρανίου
fortune by which at-the-first-shout indeed he-took the of-Afranius
στρατόπεδον, αὐτοβοεὶ δὲ φεύγοντος Ἰόβα διεπόρθει
camp at-the-first-shout and fleeing Juba he-sacked
τὸ τῶν Νομάδων· ἡμέρας δὲ μιᾶς μέρει μικρῷ τριῶν
the(-camp) of-the Numidians of-day and one in-a-part small of-three
στρατοπέδων ἐγκρατὴς γεγονὼς καὶ πεντακισμυρίους
camps master having-become and fifty-thousand
τῶν πολεμίων ἀνῃρηκὼς οὐδὲ πεντήκοντα τῶν ἰδίων
of-the enemy having-killed not-even fifty of-the own
ἀπέβαλεν.
he-lost
Οἱ μὲν ταῦτα περὶ τῆς μάχης ἐκείνης ἀναγγέλλουσιν· οἱ
the some these-things about the battle that report the
δὲ οὔ φασιν αὐτὸν ἐν τῷ ἔργῳ γενέσθαι, συντάττοντος
others not say him in the action to-have-been arraying
δὲ τὴν στρατιὰν καὶ διακοσμοῦντος ἅψασθαι τὸ
and the army and ordering to-have-seized(-him) the
σύνηθες νόσημα· τὸν δὲ εὐθὺς αἰσθόμενον ἀρχομένου,
accustomed disease he and at-once having-perceived(-it) beginning
πρὶν ἐκταράττεσθαι καὶ καταλαμβάνεσθαι παντάπασιν
before to-be-confounded and to-be-overpowered altogether

ὑπὸ τοῦ πάθους τὴν αἴσθησιν ἤδη σειομένην, εἴς τινα
by the affliction the senses already shaken into one
τῶν πλησίον πύργων κομισθῆναι καὶ διαγαγεῖν ἐν
of-the nearby towers to-have-been-carried and to-have-stayed in
ἡσυχίᾳ. τῶν δὲ πεφευγότων ἐκ τῆς μάχης ὑπατικῶν
quiet of-the and having-fled from the battle consular
καὶ στρατηγικῶν ἀνδρῶν οἱ μὲν ἑαυτοὺς διέφθειραν
and praetorian men the some themselves killed
ἁλισκόμενοι, συχνοὺς δὲ Καῖσαρ ἔκτεινεν ἁλόντας.
being-captured many and Caesar killed captured
54 Κάτωνα δὲ λαβεῖν ζῶντα φιλοτιμούμενος ἔσπευδε πρὸς
Cato and to-take alive being-ambitious he-hastened to
Ἰτύκην· ἐκείνην γὰρ παραφυλάττων τὴν πόλιν οὐ
Utica that for guarding the city not
μετέσχε τοῦ ἀγῶνος. πυθόμενος δὲ ὡς ἑαυτὸν ὁ ἀνὴρ
had-shared-in the struggle having-learned but that himself the man
διεργάσαιτο, δῆλος μὲν ἦν δηχθείς, ἐφ' ᾧ δὲ ἄδηλον.
had-made-away-with clear indeed he-was stung at what but unclear
εἶπε δ' οὖν· "Ὦ Κάτων, φθονῶ σοι τοῦ θανάτου· καὶ
he-said and then O Cato I-begrudge you the death and
γὰρ σύ μοι τῆς σωτηρίας ἐφθόνησας." ὁ μὲν οὖν μετὰ
for you me the safety begrudged the indeed then after
ταῦτα γραφεὶς ὑπ' αὐτοῦ πρὸς Κάτωνα τεθνεῶτα λόγος
these-things written by him against Cato dead speech
οὐ δοκεῖ πράως ἔχοντος οὐδὲ εὐδιαλλάκτως σημεῖον
not seems mildly being-disposed nor placably a-sign
εἶναι. πῶς γὰρ ἂν ἐφείσατο ζῶντος εἰς ἀναίσθητον
to-be how for — would-be-have-spared living on an-insensible
ἐκχέας ὀργὴν τοσαύτην; τῇ δὲ πρὸς Κικέρωνα καὶ
having-poured-out anger so-great by-the and toward Cicero and
Βροῦτον αὐτοῦ καὶ μυρίους ἄλλους τῶν πεπολεμηκότων
Brutus his and countless others of-those having-warred-against(-him)

ἐπιεικείᾳ τεκμαίρονται καὶ τὸν λόγον ἐκεῖνον οὐκ ἐξ
clemency they-infer also the speech that not from
ἀπεχθείας, ἀλλὰ φιλοτιμίᾳ πολιτικῇ συντετάχθαι διὰ
hatred but from-ambition political to-have-been-composed for
τοιαύτην αἰτίαν. ἔγραψε Κικέρων ἐγκώμιον Κάτωνος,
such a-reason wrote Cicero an-encomium of-Cato
ὄνομα τῷ λόγῳ θέμενος Κάτωνα· καὶ πολλοῖς ὁ λόγος
as-name to-the speech having-given Cato and with-many the speech
ἦν διὰ σπουδῆς, ὡς εἰκός, ὑπὸ τοῦ δεινοτάτου τῶν
was in favor as was-likely by the ablest of-the
ῥητόρων εἰς τὴν καλλίστην πεποιημένος ὑπόθεσιν. τοῦτο
orators on the noblest made subject this
ἠνία Καίσαρα, κατηγορίαν αὑτοῦ νομίζοντα τὸν τοῦ
annoyed Caesar an-accusation of-himself thinking the of-the
τεθνηκότος δι' αὐτὸν ἔπαινον. ἔγραψεν οὖν πολλάς τινας
dead through him praise he-wrote then many some
κατὰ τοῦ Κάτωνος αἰτίας συναγαγών· τὸ δὲ βιβλίον
against — Cato charges having-collected the and book
Ἀντικάτων ἐπιγέγραπται. καὶ σπουδαστὰς ἔχει τῶν λόγων
Anticato is-entitled and supporters has of-the speeches
ἑκάτερος διὰ Καίσαρα καὶ Κάτωνα πολλούς.
each for-the-sake-of Caesar and Cato many

XIV · MUNDA AND THE DICTATORSHIP

Caesar celebrates triumphs over Egypt, Pontus, and Libya, feasts the people, and finds by census that the civil wars have more than halved the citizens. At Munda he barely defeats Pompey's sons; his triumph over Romans offends. Made dictator for life, he pardons enemies, restores Pompey's statues, and refuses a bodyguard. He plans to conquer Parthia and return by the Caucasus and Germany, cut the Isthmus of Corinth, divert the Tiber, and drain the marshes.

55 Ἀλλὰ γὰρ ὡς ἐπανῆλθεν εἰς Ῥώμην ἀπὸ Λιβύης, πρῶτον
but indeed when he-returned to Rome from Libya first
μὲν ὑπὲρ τῆς νίκης ἐμεγαληγόρησε πρὸς τὸν δῆμον,
indeed about the victory he-boasted to the people
ὡς τοσαύτην κεχειρωμένος χώραν ὅση παρέξει καθ'
that so-much having-subdued land as-much-as will-furnish for
ἕκαστον ἐνιαυτὸν εἰς τὸ δημόσιον σίτου μὲν εἴκοσι
each year to the public of-grain indeed twenty
μυριάδας Ἀττικῶν μεδίμνων, ἐλαίου δὲ λιτρῶν μυριάδας
ten-thousands of-Attic bushels of-oil and of-pounds ten-thousands
τριακοσίας. ἔπειτα θριάμβους κατήγαγε τὸν Αἰγυπτιακόν,
three-hundred then triumphs he-celebrated the Egyptian
τὸν Ποντικόν, τὸν Λιβυκόν, οὐκ ἀπὸ Σκηπίωνος, ἀλλ' ἀπὸ
the Pontic the Libyan not over Scipio but over
Ἰόβα δῆθεν τοῦ βασιλέως. τότε καὶ Ἰόβας υἱὸς ὢν ἐκείνου
Juba forsooth the king then also Juba son being of-that-one
κομιδῇ νήπιος ἐν τῷ θριάμβῳ παρήχθη, μακαριωτάτην
quite an-infant in the triumph was-led-along most-blessed
ἁλοὺς ἅλωσιν, ἐκ βαρβάρου καὶ Νομάδος Ἑλλήνων
captured capture from barbarian and Numidian of-Greeks
τοῖς πολυμαθεστάτοις ἐναρίθμιος γενέσθαι συγγραφεῦσι.
among-the most-learned numbered to-become historians
μετὰ δὲ τοὺς θριάμβους στρατιώταις τε μεγάλας δωρεὰς
after and the triumphs to-soldiers both great gifts
ἐδίδου καὶ τὸν δῆμον ἀνελάμβανεν ἑστιάσεσι καὶ θέαις,
he-gave and the people he-won with-feasts and shows
ἑστιάσας μὲν ἐν δισμυρίοις καὶ δισχιλίοις τρικλίνοις ὁμοῦ
having-feasted indeed at twenty-thousand and two-thousand dining-couches at-once
σύμπαντας, θέας δὲ καὶ μονομάχων καὶ ναυμάχων ἀνδρῶν
all shows and also of-gladiators and of-sea-fighting men
παρασχὼν ἐπὶ τῇ θυγατρὶ Ἰουλίᾳ πάλαι τεθνεώσῃ.
having-furnished in-honor-of the daughter Julia long-ago dead

Μετὰ δὲ τὰς θέας γενομένων τιμήσεων ἀντὶ τῶν
after and the shows having-been-held censuses instead-of the
προτέρων δυεῖν καὶ τριάκοντα μυριάδων ἐξητάσθησαν αἱ
former two and thirty ten-thousands were-counted the
πᾶσαι πεντεκαίδεκα. τηλικαύτην ἡ στάσις ἀπειργάσατο
all fifteen so-great the strife wrought
συμφορὰν καὶ τοσοῦτον ἀπανάλωσε τοῦ δήμου μέρος,
a-calamity and so-great consumed of-the people a-part
ἔξω λόγου τιθεμένοις τὰ κατασχόντα τὴν ἄλλην Ἰταλίαν
out-of account putting the having-seized the rest-of Italy
ἀτυχήματα καὶ τὰς ἐπαρχίας.
misfortunes and the provinces
Συντελεσθέντων δὲ τούτων ὕπατος ἀποδειχθεὶς τὸ 56
completed and these-things consul having-been-appointed the
τέταρτον εἰς Ἰβηρίαν ἐστράτευσεν ἐπὶ τοὺς Πομπηΐου
fourth(-time) to Iberia he-marched against the of-Pompey
παῖδας, νέους μὲν ὄντας ἔτι, θαυμαστὴν δὲ τῷ πλήθει
sons young indeed being still wonderful but in-the number
στρατιὰν συνειλοχότας καὶ τόλμαν ἀποδεικνυμένους
army having-collected and daring displaying
ἀξιόχρεων πρὸς ἡγεμονίαν, ὥστε κίνδυνον τῷ Καίσαρι
worthy for command so-that danger — Caesar
περιστῆσαι τὸν ἔσχατον. ἡ δὲ μεγάλη μάχη περὶ πόλιν
to-surround the utmost the and great battle near a-city
συνέστη Μοῦνδαν, ἐν ᾗ Καῖσαρ ἐκθλιβομένους ὁρῶν
was-joined Munda in which Caesar being-pressed seeing
τοὺς ἑαυτοῦ καὶ κακῶς ἀντέχοντας ἐβόα, διὰ τῶν ὅπλων
the his-own and badly resisting shouted through the arms
καὶ τῶν τάξεων διαθέων, εἰ μηδὲν αἰδοῦνται λαβόντες
and the ranks running if nothing they-are-ashamed having-taken
αὐτὸν ἐγχειρίσαι τοῖς παιδαρίοις. μόλις δὲ προθυμίᾳ
him to-hand-over to-the boys barely and with-zeal

πολλῇ τοὺς πολεμίους ὠσάμενος ἐκείνων μὲν ὑπὲρ
great the enemy having-thrust-back of-them indeed over
τρισμυρίους διέφθειρε, τῶν δὲ αὑτοῦ χιλίους ἀπώλεσε
thirty-thousand he-destroyed of-the and his-own thousand he-lost
τοὺς ἀρίστους. ἀπιὼν δὲ μετὰ τὴν μάχην πρὸς τοὺς
the best going-away and after the battle to the
φίλους εἶπεν ὡς πολλάκις μὲν ἀγωνίσαιτο περὶ νίκης,
friends he-said that often indeed he-had-fought for victory
νῦν δὲ πρῶτον περὶ ψυχῆς. ταύτην τὴν μάχην ἐνίκησε
now but first for life this the battle he-won
τῇ τῶν Διονυσίων ἑορτῇ, καθ' ἣν λέγεται καὶ Πομπήϊος
on-the of-the Dionysia festival on which it-is-said also Pompey
Μάγνος ἐπὶ τὸν πόλεμον ἐξελθεῖν· διὰ μέσου δὲ χρόνος
Magnus for the war to-have-gone-out in between and time
ἐνιαυτῶν τεσσάρων διῆλθε. τῶν δὲ Πομπηΐου παίδων ὁ
of-years four passed of-the and of-Pompey sons the
μὲν νεώτερος διέφυγε, τοῦ δὲ πρεσβυτέρου μεθ' ἡμέρας
indeed younger escaped of-the and elder after days
ὀλίγας Δείδιος ἀνήνεγκε τὴν κεφαλήν.
few Deidius brought the head
Τοῦτον ἔσχατον Καῖσαρ ἐπολέμησε τὸν πόλεμον· ὁ δὲ
this last Caesar fought the war the and
ἀπ' αὐτοῦ καταχθεὶς θρίαμβος ὡς οὐδὲν ἄλλο Ῥωμαίους
from it celebrated triumph as nothing else Romans
ἠνίασεν. οὐ γὰρ ἀλλοφύλους ἡγεμόνας οὐδὲ βαρβάρους
grieved not for foreign commanders nor barbarian
βασιλεῖς κατηγωνισμένον, ἀνδρὸς δὲ Ῥωμαίων κρατίστου
kings having-defeated of-a-man but of-Romans the-greatest
τύχαις κεχρημένου παῖδας καὶ γένος ἄρδην ἀνῃρηκότα
with-misfortunes having-met children and family utterly having-destroyed
ταῖς τῆς πατρίδος ἐπιπομπεύειν συμφοραῖς οὐ καλῶς
over-the of-the fatherland to-triumph misfortunes not well

εἶχεν, ἀγαλλόμενον ἐπὶ τούτοις ὧν μία καὶ πρὸς
it-was exulting over these-things of-which one both to
θεοὺς καὶ πρὸς ἀνθρώπους ἀπολογία τὸ μετ᾽ ἀνάγκης
gods and to men defense the with necessity
πεπρᾶχθαι, καὶ ταῦτα πρότερον μήτε ἄγγελον μήτε
to-have-been-done and these-things before neither messenger nor
γράμματα δημοσίᾳ πέμψαντα περὶ νίκης ἀπὸ τῶν
letters publicly having-sent about victory from the
ἐμφυλίων πολέμων, ἀλλ᾽ ἀπωσάμενον αἰσχύνῃ τὴν δόξαν.
civil wars but having-thrust-away from-shame the glory
Οὐ μὴν ἀλλὰ καὶ πρὸς τὴν τύχην τοῦ ἀνδρὸς ἐγκεκλικότες 57
not indeed but also to the fortune of-the man having-bowed
καὶ δεδεγμένοι τὸν χαλινόν, καὶ τῶν ἐμφυλίων πολέμων
and having-accepted the bit and of-the civil wars
καὶ κακῶν ἀναπνοὴν ἡγούμενοι τὴν μοναρχίαν, δικτάτορα
and evils a-respite considering the monarchy dictator
μὲν αὐτὸν ἀπέδειξαν διὰ βίου· τοῦτο δ᾽ ἦν ὁμολογουμένη
indeed him they-appointed for life this and was an-acknowledged
τυραννίς, τῷ ἀνυπευθύνῳ τῆς μοναρχίας τὸ ἀκατάπαυστον
tyranny to-the unaccountability of-the monarchy the permanence
προσλαβούσης· τιμὰς δὲ τὰς πρώτας Κικέρωνος εἰς τὴν
having-added honors and the first Cicero to the
βουλὴν γράψαντος, ὧν ἁμῶς γέ πως ἀνθρώπινον
senate having-proposed of-which in-some-way at-least somehow human
ἦν τὸ μέγεθος, ἕτεροι προστιθέντες ὑπερβολὰς καὶ
was the magnitude others adding excesses and
διαμιλλώμενοι πρὸς ἀλλήλους ἐξειργάσαντο καὶ τοῖς
vying with each-other brought-it-about even to-the
πραοτάτοις ἐπαχθῆ τὸν ἄνδρα καὶ λυπηρὸν γενέσθαι διὰ
mildest odious the man and offensive to-become because-of
τὸν ὄγκον καὶ τὴν ἀτοπίαν τῶν ψηφιζομένων, οἷς
the pomp and the extravagance of-the decrees with-which

οὐδὲν ἧττον οἴονται συναγωνίσασθαι τῶν κολακευόντων
no less they-think to-have-cooperated than-those flattering
Καίσαρα τοὺς μισοῦντας, ὅπως ὅτι πλείστας κατ' αὐτοῦ
Caesar those hating(-him) so-that as most against him
προφάσεις ἔχωσι καὶ μετὰ μεγίστων ἐγκλημάτων
pretexts they-might-have and with greatest charges
ἐπιχειρεῖν δοκῶσιν. ἐπεὶ τά γε ἄλλα, τῶν ἐμφυλίων
to-attack they-might-seem since the at-least other(-things) the civil
αὐτῷ πολέμων πέρας ἐσχηκότων, ἀνέγκλητον ἑαυτὸν
for-him wars an-end having-had blameless himself
παρεῖχε· καὶ τό γε τῆς Ἐπιεικείας ἱερὸν οὐκ ἀπὸ
he-showed and the at-least of-the Clemency temple not out-of
τρόπου δοκοῦσι χαριστήριον ἐπὶ τῇ πραότητι ψηφίσασθαι.
place they-seem as-a-thank-offering for the mildness to-have-voted
καὶ γὰρ ἀφῆκε πολλοὺς τῶν πεπολεμηκότων πρὸς
and for he-pardoned many of-those having-warred against
αὐτόν, ἐνίοις δὲ καὶ ἀρχὰς καὶ τιμάς, ὡς Βρούτῳ καὶ
him to-some and both offices and honors as to-Brutus and
Κασσίῳ, προσέθηκεν· ἐστρατήγουν γὰρ ἀμφότεροι. καὶ
Cassius he-added were-praetors for both and
τὰς Πομπηΐου καταβεβλημένας εἰκόνας οὐ περιεῖδεν, ἀλλ'
the of-Pompey thrown-down statues not he-overlooked but
ἀνέστησεν, ἐφ' ὧν καὶ Κικέρων εἶπεν ὅτι Καῖσαρ τοὺς
set-up on which also Cicero said that Caesar the
Πομπηΐου στήσας ἀνδριάντας τοὺς ἰδίους ἔπηξε. τῶν
of-Pompey having-set-up statues the own fixed-firm the
δὲ φίλων ἀξιούντων αὐτὸν δορυφορεῖσθαι καὶ πολλῶν
and friends urging him to-have-a-bodyguard and many
ἐπὶ τοῦτο παρεχόντων ἑαυτοὺς οὐχ ὑπέμεινεν, εἰπὼν ὡς
for this offering themselves not he-allowed having-said that
βέλτιόν ἐστιν ἅπαξ ἀποθανεῖν ἢ ἀεὶ προσδοκᾶν. τὴν
better it-is once to-die than always to-expect(-it) the

δ᾽ εὔνοιαν ὡς κάλλιστον ἅμα καὶ βεβαιότατον ἑαυτῷ
and goodwill as most-beautiful at-once and most-secure for-himself
περιβαλλόμενος φυλακτήριον, αὖθις ἀνελάμβανε τὸν δῆμον
putting-around as-a-safeguard again he-won the people
ἑστιάσεσι καὶ σιτηρεσίοις, τὸ δὲ στρατιωτικὸν ἀποικίαις,
with-feasts and grain-distributions the and army with-colonies
ὧν ἐπιφανέσταται Καρχηδὼν καὶ Κόρινθος ἦσαν, αἷς
of-which most-conspicuous Carthage and Corinth were for-which
καὶ πρότερον τὴν ἅλωσιν καὶ τότε τὴν ἀνάληψιν ἅμα
also formerly the capture and then the restoration at-once
καὶ κατὰ τὸν αὐτὸν χρόνον ἀμφοτέραις γενέσθαι συνέτυχε.
and at the same time for-both to-occur happened
Τῶν δὲ δυνατῶν τοῖς μὲν ὑπατείας καὶ στρατηγίας εἰς 58
of-the and powerful to-some indeed consulships and praetorships for
τοὐπιὸν ἐπηγγέλλετο, τοὺς δ᾽ ἄλλαις τισὶν ἐξουσίαις
the-coming(-time) he-promised others and with-other some powers
καὶ τιμαῖς παρεμυθεῖτο, πᾶσι δὲ ἐλπίζειν ἐνεδίδου,
and honors he-consoled to-all and to-hope he-gave
μνηστευόμενος ἄρχειν ἑκόντων, ὡς καὶ Μαξίμου τοῦ
wooing to-rule willing(-subjects) so-that even Maximus the
ὑπάτου τελευτήσαντος εἰς τὴν περιοῦσαν ἔτι τῆς ἀρχῆς
consul having-died for the remaining still of-the office
μίαν ἡμέραν ὕπατον ἀποδεῖξαι Κανίνιον Ῥεβίλιον.
one day consul to-have-appointed Caninius Rebilius
πρὸς ὅν, ὡς ἔοικε, πολλῶν δεξιώσασθαι καὶ προπέμψαι
to whom as it-seems many to-congratulate and to-escort
βαδιζόντων ὁ Κικέρων, "Σπεύδωμεν," ἔφη, "πρὶν φθάσῃ
going — Cicero let-us-hurry he-said before anticipate
τῆς ὑπατείας ἐξελθὼν ὁ ἄνθρωπος."
of-the consulship having-gone-out the man

Ἐπεὶ δὲ τὸ φύσει μεγαλουργὸν αὐτοῦ καὶ φιλότιμον
since and the by-nature enterprising his and ambitious
αἱ πολλαὶ κατορθώσεις οὐ πρὸς ἀπόλαυσιν ἔτρεπον τῶν
the many successes not to enjoyment turned of-the
πεπονημένων, ἀλλ' ὑπέκκαυμα καὶ θάρσος οὖσαι πρὸς
toils but kindling and confidence being for
τὰ μέλλοντα μειζόνων ἐνέτικτον ἐπινοίας πραγμάτων καὶ
the future of-greater engendered designs of-deeds and
καινῆς ἔρωτα δόξης ὡς ἀποκεχρημένῳ τῇ παρούσῃ, τὸ μὲν
of-new love glory as having-used-up the present the indeed
πάθος οὐδὲν ἦν ἕτερον ἢ ζῆλος αὑτοῦ καθάπερ ἄλλου καὶ
passion nothing was other than rivalry of-himself as-of another and
φιλονεικία τις ὑπὲρ τῶν μελλόντων πρὸς τὰ πεπραγμένα,
contentiousness some for the future against the done(-things)
παρασκευὴ δὲ καὶ γνώμη στρατεύειν μὲν ἐπὶ Πάρθους,
preparation and and resolve to-march indeed against Parthians
καταστρεψαμένῳ δὲ τούτους, καὶ δι' Ὑρκανίας παρὰ
having-subdued and these and through Hyrcania along
τὴν Κασπίαν θάλασσαν καὶ τὸν Καύκασον ἐκπεριελθόντι
the Caspian sea and the Caucasus having-gone-round
τὸν Πόντον, εἰς τὴν Σκυθικὴν ἐμβαλεῖν, καὶ τὰ περίχωρα
the Pontus into the Scythian(-land) to-invade and the regions-around
Γερμανοῖς καὶ Γερμανίαν αὐτὴν ἐπιδραμόντι διὰ Κελτῶν
to-Germans and Germany itself having-overrun through Gauls
ἐπανελθεῖν εἰς Ἰταλίαν, καὶ συνάψαι τὸν κύκλον τοῦτον
to-return to Italy and to-join the circle this
τῆς ἡγεμονίας τῷ πανταχόθεν Ὠκεανῷ περιορισθείσης.
of-the empire by-the on-all-sides Ocean bounded
διὰ μέσου δὲ τῆς στρατείας τόν τε Κορίνθιον Ἰσθμὸν
in midst and of-the campaign the both Corinthian Isthmus
ἐπεχείρει διασκάπτειν, Ἀνιηνὸν ἐπὶ τούτῳ προχειρισάμενος,
he-undertook to-dig-through Anienus for this having-appointed

καὶ τὸν Τίβεριν εὐθὺς ἀπὸ τῆς πόλεως ὑπολαβὼν διώρυχι
and the Tiber at-once from the city taking-up with-a-canal
βαθείᾳ καὶ περικλάσας ἐπὶ τὸ Κιρκαῖον ἐμβαλεῖν εἰς τὴν
deep and bending(-it) toward the Circaeum to-turn-into into the
πρὸς Ταρρακίνῃ θάλατταν, ἀσφάλειαν ἅμα καὶ ῥᾳστώνην
at Tarracina sea safety at-once and ease
τοῖς δι᾽ ἐμπορίας φοιτῶσιν εἰς Ῥώμην μηχανώμενος· πρὸς
for-those for trade traveling to Rome contriving besides
δὲ τούτοις τὰ μὲν ἕλη τὰ περὶ Πωμεντῖνον καὶ Σητίαν
and these the indeed marshes the around Pomentinum and Setia
ἐκτρέψας πεδίον ἀποδεῖξαι πολλαῖς ἐνεργὸν ἀνθρώπων
having-diverted plain to-render for-many productive of-men
μυριάσι, τῇ δὲ ἔγγιστα τῆς Ῥώμης θαλάσσῃ κλεῖθρα
ten-thousands to-the and nearest — of-Rome sea barriers
διὰ χωμάτων ἐπαγαγών, καὶ τὰ τυφλὰ καὶ δύσορμα τῆς
by moles having-brought and the hidden and harborless of-the
Ὠστιανῆς ἠϊόνος ἀνακαθηράμενος, λιμένας ἐμποιήσασθαι
Ostian shore having-cleared harbors to-make
καὶ ναύλοχα πρὸς τοσαύτην ἀξιόπιστα ναυτιλίαν. καὶ
and anchorages for so-great trustworthy shipping and
ταῦτα μὲν ἐν παρασκευαῖς ἦν.
these-things indeed in preparations were

XV · THE CALENDAR AND THE CROWN

Caesar reforms the calendar, which Cicero mocks. His desire for the title of king breeds hatred: he receives the senate seated, refuses the diadem Antony offers him at the Lupercalia, and deposes the tribunes who strip his statues. The people call on Marcus Brutus, whom Caesar has favored, to live up to his name, and Cassius stirs him; Caesar says he fears not the fat and long-haired, but the pale and lean.

59 Ἡ δὲ τοῦ ἡμερολογίου διάθεσις καὶ διόρθωσις τῆς περὶ τὸν
the and of-the calendar arrangement and correction of-the about the
χρόνον ἀνωμαλίας φιλοσοφηθεῖσα χαριέντως ὑπ᾽ αὐτοῦ
time irregularity philosophically-worked-out gracefully by him
καὶ τέλος λαβοῦσα γλαφυρωτάτην παρέσχε χρείαν. οὐ
and completion having-received most-elegant afforded use not
γὰρ μόνον ἐν τοῖς παλαιοῖς πάνυ χρόνοις τεταραγμέναις
for only in the old very times confused
ἐχρῶντο Ῥωμαῖοι ταῖς τῶν μηνῶν πρὸς τὸν ἐνιαυτὸν
used Romans the of-the months with the year
περιόδοις, ὥστε τὰς θυσίας καὶ τὰς ἑορτὰς ὑποφερομένας
cycles so-that the sacrifices and the festivals slipping
κατὰ μικρὸν εἰς ἐναντίας ἐκπεπτωκέναι τοῖς χρόνοις
by little into opposite to-have-fallen for-the times
ὥρας, ἀλλὰ καὶ περὶ τὴν τότε οὖσαν ἡλιακὴν οἱ μὲν
seasons but also about the then being solar(-year) the indeed
ἄλλοι παντάπασι τούτων ἀσυλλογίστως εἶχον, οἱ δὲ ἱερεῖς
others altogether of-these without-reckoning were the but priests
μόνοι τὸν καιρὸν εἰδότες ἐξαίφνης καὶ προῃσθημένου
alone the moment knowing suddenly and having-perceived-beforehand
μηδενὸς τὸν ἐμβόλιμον προσέγραφον μῆνα, Μερκηδόνιον
nobody the intercalary added month Mercedonius
ὀνομάζοντες, ὃν Νομᾶς ὁ βασιλεὺς πρῶτος ἐμβαλεῖν
naming(-it) which Numa the king first to-have-inserted
λέγεται, μικρὰν καὶ διατείνουσαν οὐ πόρρω βοήθειαν
is-said small and extending not far a-remedy
ἐξευρὼν τῆς περὶ τὰς ἀποκαταστάσεις πλημμελείας, ὡς ἐν
having-devised of-the about the restorations error as in
τοῖς περὶ ἐκείνου γέγραπται. Καῖσαρ δὲ τοῖς ἀρίστοις
the(-writings) about him has-been-written Caesar but to-the best
τῶν φιλοσόφων καὶ μαθηματικῶν τὸ πρόβλημα προθεὶς
of-the philosophers and mathematicians the problem having-set-before

ἐκ τῶν ὑποκειμένων ἤδη μεθόδων ἔμιξεν ἰδίαν τινὰ καὶ
from the available already methods mixed own some and
διηκριβωμένην μᾶλλον ἐπανόρθωσιν, ᾗ χρώμενοι μέχρι
precisely-worked-out more correction which using until
νῦν Ῥωμαῖοι δοκοῦσιν ἧττον ἑτέρων σφάλλεσθαι περὶ τὴν
now Romans seem less than-others to-err about the
ἀνωμαλίαν. οὐ μὴν ἀλλὰ καὶ τοῦτο τοῖς βασκαίνουσι καὶ
irregularity not indeed but also this to-those envying and
βαρυνομένοις τὴν δύναμιν αἰτίας παρεῖχε. Κικέρων
resenting the power occasions-of-blame furnished Cicero
γοῦν ὁ ῥήτωρ, ὡς ἔοικε, φήσαντός τινος αὔριον
at-any-rate the orator as it-seems having-said someone tomorrow
ἐπιτέλλειν Λύραν, "Ναί," εἶπεν, "ἐκ διατάγματος," ὡς
to-rise the-Lyre yes he-said by edict as
καὶ τοῦτο πρὸς ἀνάγκην τῶν ἀνθρώπων δεχομένων.
even this under compulsion the men accepting
Τὸ δὲ ἐμφανὲς μάλιστα μῖσος καὶ θανατηφόρον ἐπ' αὐτὸν 60
the but manifest most hatred and deadly against him
ὁ τῆς βασιλείας ἔρως ἐξειργάσατο, τοῖς μὲν πολλοῖς αἰτία
the of-the kingship desire produced to-the indeed many cause
πρώτη, τοῖς δὲ ὑπούλοις πάλαι πρόφασις εὐπρεπεστάτη
first to-the and secretly-hostile long a-pretext most-plausible
γενομένη. καίτοι καὶ λόγον τινὰ κατέσπειραν εἰς τὸν
having-become and-yet also a-story some they-spread among the
δῆμον οἱ ταύτην Καίσαρι τὴν τιμὴν προξενοῦντες, ὡς ἐκ
people those this for-Caesar the honor procuring that from
γραμμάτων Σιβυλλείων ἁλώσιμα τὰ Πάρθων φαίνοιτο
writings Sibylline capturable the(-land) of-Parthians appeared
Ῥωμαίοις σὺν βασιλεῖ στρατευομένοις ἐπ' αὐτούς, ἄλλως
for-Romans with a-king campaigning against them otherwise
ἀνέφικτα ὄντα· καὶ καταβαίνοντος ἐξ Ἄλβης Καίσαρος
unattainable being and coming-down from Alba Caesar

εἰς τὴν πόλιν ἐτόλμησαν αὐτὸν ἀσπάσασθαι βασιλέα.
into the city they-dared him to-hail king
τοῦ δὲ δήμου διαταραχθέντος ἀχθεσθεὶς ἐκεῖνος οὐκ ἔφη
the and people being-troubled vexed he not he-said
βασιλεύς, ἀλλὰ Καῖσαρ καλεῖσθαι· καὶ γενομένης πρὸς
king but Caesar to-be-called and having-arisen at
τοῦτο πάντων σιωπῆς οὐ πάνυ φαιδρὸς οὐδ' εὐμενὴς
this of-all silence not very cheerful nor kindly
παρῆλθεν. ἐν δὲ συγκλήτῳ τιμάς τινας ὑπερφυεῖς αὐτῷ
he-passed-on in and senate honors some extravagant to-him
ψηφισαμένων ἔτυχε μὲν ὑπὲρ τῶν ἐμβόλων καθεζόμενος,
having-voted he-happened indeed above the rostra sitting
προσιόντων δὲ τῶν ὑπάτων καὶ τῶν στρατηγῶν, ἅμα δὲ
approaching and the consuls and the praetors at-once and
καὶ τῆς βουλῆς ἁπάσης ἑπομένης, οὐχ ὑπεξαναστάς, ἀλλ'
also the senate whole following not having-risen but
ὥσπερ ἰδιώταις τισὶ χρηματίζων, ἀπεκρίνατο συστολῆς
as-if to-private-men some giving-audience he-answered of-curtailment
μᾶλλον ἢ προσθέσεως τὰς τιμὰς δεῖσθαι. καὶ τοῦτο
rather than of-addition the honors to-need and this
οὐ μόνον ἠνίασε τὴν βουλήν, ἀλλὰ καὶ τὸν δῆμον, ὡς
not only grieved the senate but also the people as
ἐν τῇ βουλῇ τῆς πόλεως προπηλακιζομένης, καὶ μετὰ
in the senate the city being-insulted and with
δεινῆς κατηφείας ἀπῆλθον εὐθὺς οἷς ἐξῆν μὴ
terrible dejection went-away at-once those-to-whom it-was-permitted not
παραμένειν, ὥστε κἀκεῖνον ἐννοήσαντα παραχρῆμα μὲν
to-remain so-that and-he having-realized at-once indeed
οἴκαδε τραπέσθαι καὶ βοᾶν πρὸς τοὺς φίλους, ἀπαγαγόντα
home to-turn and to-cry to the friends having-drawn-away
τοῦ τραχήλου τὸ ἱμάτιον, ὡς ἕτοιμος εἴη τῷ βουλομένῳ
from-the neck the toga that ready he-was to-the wishing

τὴν σφαγὴν παρέχειν, ὕστερον δὲ προφασίζεσθαι τὴν
the throat to-offer later and to-plead the
νόσον· οὐ γὰρ ἐθέλειν τὴν αἴσθησιν ἀτρεμεῖν τῶν οὕτως
disease not for to-be-willing the sense to-keep-still of-those so
ἐχόντων, ὅταν ἱστάμενοι διαλέγωνται πρὸς ὄχλον, ἀλλὰ
being whenever standing they-address a crowd but
σειομένην ταχὺ καὶ περιφερομένην ἰλίγγους ἐπισπᾶσθαι καὶ
shaken quickly and whirled-round giddiness to-bring-on and
καταλαμβάνεσθαι. τὸ δὲ οὐκ εἶχεν οὕτως, ἀλλὰ καὶ πάνυ
to-be-overpowered the but not was so but even very
βουλόμενον αὐτὸν ὑπεξαναστῆναι τῇ βουλῇ λέγουσιν ὑπό
wishing him to-rise for-the senate they-say by
του τῶν φίλων, μᾶλλον δὲ κολάκων, Κορνηλίου Βάλβου,
someone of-the friends rather but of-flatterers Cornelius Balbus
κατασχεθῆναι φήσαντος· "Οὐ μεμνήσῃ Καῖσαρ ὤν,
to-have-been-restrained having-said not will-you-remember Caesar being
οὐδὲ ἀξιώσεις ὡς κρείττονα θεραπεύεσθαι σεαυτόν;"
nor will-you-claim as superior to-be-courted yourself
Ἐπιγίνεται τούτοις τοῖς προσκρούσμασιν ὁ τῶν δημάρχων 61
is-added to-these the offenses the of-the tribunes
προπηλακισμός. ἦν μὲν γὰρ ἡ τῶν Λουπερκαλίων
insult it-was indeed for the of-the Lupercalia
ἑορτή, περὶ ἧς πολλοὶ γράφουσιν ὡς ποιμένων τὸ
festival about which many write that of-shepherds the
παλαιὸν εἴη, καί τι καὶ προσήκει τοῖς Ἀρκαδικοῖς
old(-festival) it-was and something also it-belongs to-the Arcadian
Λυκαίοις. τῶν δ' εὐγενῶν νεανίσκων καὶ ἀρχόντων
Lycaea of-the and noble young-men and magistrates
πολλοὶ διαθέουσιν ἀνὰ τὴν πόλιν γυμνοί, σκύτεσι λασίοις
many run-about through the city naked with-thongs shaggy
τοὺς ἐμποδὼν ἐπὶ παιδιᾷ καὶ γέλωτι παίοντες· πολλαὶ
those in-the-way in play and laughter striking many

δὲ καὶ τῶν ἐν τέλει γυναικῶν ἐπίτηδες ὑπαντῶσαι
and also of-the in office women on-purpose meeting(-them)
παρέχουσιν ὥσπερ ἐν διδασκάλου τὼ χεῖρε ταῖς πληγαῖς,
hold-out as in a-teacher's(-school) the hands to-the blows
πεπεισμέναι πρὸς εὐτοκίαν κυούσαις, ἀγόνοις δὲ πρὸς
persuaded for easy-delivery for-the-pregnant for-the-barren and for
κύησιν ἀγαθὸν εἶναι. ταῦτα Καῖσαρ ἐθεᾶτο καθήμενος
conception good it-is these-things Caesar watched sitting
ἐπὶ τῶν ἐμβόλων ἐπὶ δίφρου χρυσοῦ, θριαμβικῷ κόσμῳ
on the rostra on a-chair golden in-triumphal attire
κεκοσμημένος. Ἀντώνιος δὲ τῶν θεόντων τὸν ἱερὸν
arrayed Antony and of-those running the sacred
δρόμον εἷς ἦν· καὶ γὰρ ὑπάτευεν. ὡς οὖν εἰς τὴν
course one was and for he-was-consul when then into the
ἀγορὰν ἐνέβαλε καὶ τὸ πλῆθος αὐτῷ διέστη, φέρων
forum he-burst and the crowd for-him parted bearing
διάδημα στεφάνῳ δάφνης περιπεπλεγμένον ὤρεξε τῷ
a-diadem with-a-wreath of-laurel entwined he-held-out(-it) —
Καίσαρι· καὶ γίνεται κρότος οὐ λαμπρός, ἀλλ' ὀλίγος
to-Caesar and there-is applause not loud but slight
ἐκ παρασκευῆς. ἀπωσαμένου δὲ τοῦ Καίσαρος ἅπας
from arrangement having-pushed(-it)-away and — of-Caesar all
ὁ δῆμος ἀνεκρότησεν· αὖθις δὲ προσφέροντος ὀλίγοι,
the people applauded again and offering few
καὶ μὴ δεξαμένου πάλιν ἅπαντες. οὕτω δὲ τῆς πείρας
and not having-accepted again all thus and the attempt
ἐξελεγχομένης Καῖσαρ μὲν ἀνίσταται, τὸν στέφανον
being-exposed Caesar indeed rises the wreath
εἰς τὸ Καπιτώλιον ἀπενεχθῆναι κελεύσας, ὤφθησαν δὲ
to the Capitol to-be-carried-away having-ordered were-seen and
ἀνδριάντες αὐτοῦ διαδήμασιν ἀναδεδεμένοι βασιλικοῖς. καὶ
statues his with-diadems bound royal and

τῶν δημάρχων δύο, Φλαούϊος καὶ Μάρυλλος, ἐπελθόντες
of-the tribunes two Flavius and Marullus having-come-up
ἀπέσπασαν, καὶ τοὺς ἀσπασαμένους βασιλέα τὸν Καίσαρα
tore(-them)-off and those having-hailed king — Caesar
πρώτους ἐξευρόντες ἀπῆγον εἰς τὸ δεσμωτήριον. ὁ
first having-found-out led(-them)-off to the prison the
δὲ δῆμος εἵπετο κροτῶν, καὶ Βρούτους ἀπεκάλει τοὺς
and people followed applauding and Brutuses called the
ἄνδρας, ὅτι Βροῦτος ἦν ὁ καταλύσας τὴν τῶν
men because Brutus was the(-one) having-ended the of-the
βασιλέων διαδοχὴν καὶ τὸ κράτος εἰς βουλὴν καὶ δῆμον
kings succession and the power to senate and people
ἐκ μοναρχίας καταστήσας. ἐπὶ τούτῳ Καῖσαρ παροξυνθεὶς
from monarchy having-transferred at this Caesar provoked
τὴν μὲν ἀρχὴν ἀφείλετο τῶν περὶ τὸν Μάρυλλον, ἐν
the indeed office took-away from-those around — Marullus in
δὲ τῷ κατηγορεῖν αὐτῶν ἅμα καὶ τὸν δῆμον ἐφυβρίζων
and the accusing them at-once also the people insulting
πολλάκις Βρούτους τε καὶ Κυμαίους ἀπεκάλει τοὺς ἄνδρας.
often Brutes both and Cymaeans called the men
Οὕτω δὴ τρέπονται πρὸς Μάρκον Βροῦτον οἱ πολλοί, 62
thus indeed turn to Marcus Brutus the many
γένος μὲν ἐκεῖθεν εἶναι δοκοῦντα πρὸς πατέρων, καὶ
by-descent indeed from-there to-be seeming on fathers'(-side) and
τὸ πρὸς μητρὸς δὲ ἀπὸ Σερουιλίων, οἰκίας ἑτέρας
the on mother's(-side) and from the-Servilii a-house another
ἐπιφανοῦς, γαμβρὸν δὲ καὶ ἀδελφιδοῦν Κάτωνος. τοῦτον
illustrious son-in-law and and nephew of-Cato this-one
ἐξ ἑαυτοῦ μὲν ὁρμῆσαι πρὸς κατάλυσιν τῆς μοναρχίας
from himself indeed to-set-out to destruction of-the monarchy
ἤμβλυνον αἱ παρὰ Καίσαρος τιμαὶ καὶ χάριτες. οὐ γὰρ
dulled the from Caesar honors and favors not for

μόνον ἐσώθη περὶ Φάρσαλον ἀπὸ τῆς Πομπηΐου φυγῆς,
only he-was-saved at Pharsalus from the of-Pompey flight
οὐδὲ πολλοὺς τῶν ἐπιτηδείων ἔσωσεν ἐξαιτησάμενος, ἀλλὰ
nor many of-the friends he-saved having-begged-off(-them) but
καὶ πίστιν εἶχε μεγάλην παρ' αὐτῷ. καὶ στρατηγίαν μὲν
also trust he-had great with him and praetorship indeed
ἐν τοῖς τότε τὴν ἐπιφανεστάτην ἔλαβεν, ὑπατεύειν δὲ
among the then(-ones) the most-illustrious he-received to-be-consul and
ἔμελλεν εἰς τέταρτον ἔτος, ἐρίσαντος Κασσίου προτιμηθείς.
he-was-to in fourth year having-contended Cassius preferred
λέγεται γὰρ ὁ Καῖσαρ εἰπεῖν ὡς δικαιότερα μὲν λέγοι
it-is-said for — Caesar to-have-said that juster indeed spoke
Κάσσιος, αὐτὸς μέντοι Βροῦτον οὐκ ἂν παρέλθοι. καί ποτε
Cassius he however Brutus not — would-pass-over and once
καὶ διαβαλλόντων τινῶν τὸν ἄνδρα, πραττομένης ἤδη τῆς
also slandering some the man being-carried-on already the
συνωμοσίας, οὐ προσέσχεν, ἀλλὰ τοῦ σώματος τῇ χειρὶ
conspiracy not he-heeded but the body with-the hand
θιγὼν ἔφη πρὸς τοὺς διαβάλλοντας· "Ἀναμενεῖ τοῦτο
having-touched he-said to the slanderers will-wait-for this
τὸ δέρμα Βροῦτος," ὡς ἄξιον μὲν ὄντα τῆς ἀρχῆς δι'
the skin Brutus as worthy indeed being of-the power through
ἀρετήν, διὰ δὲ τὴν ἀρχὴν οὐκ ἂν ἀχάριστον καὶ πονηρὸν
virtue through but the power not — ungrateful and base
γενόμενον. οἱ δὲ τῆς μεταβολῆς ἐφιέμενοι καὶ πρὸς μόνον
becoming those and the change desiring also to alone
ἐκεῖνον ἢ πρῶτον ἀποβλέποντες αὐτῷ μὲν οὐκ ἐτόλμων
him or first looking him indeed not dared
διαλέγεσθαι, νύκτωρ δὲ κατεπίμπλασαν γραμμάτων τὸ
to-speak-with by-night but they-filled with-writings the
βῆμα καὶ τὸν δίφρον ἐφ' οὗ στρατηγῶν ἐχρημάτιζεν·
tribunal and the chair on which being-praetor he-did-business

ὧν ἦν τὰ πολλὰ τοιαῦτα· "Καθεύδεις, ὦ Βροῦτε,"
of-which were the many such you-sleep O Brutus
καί "Οὐκ εἶ Βροῦτος." ὑφ' ὧν ὁ Κάσσιος αἰσθόμενος
and not you-are Brutus by which — Cassius perceiving
διακινούμενον ἡσυχῇ τὸ φιλότιμον αὐτοῦ, μᾶλλον ἢ
being-stirred quietly the ambition his more than
πρότερον ἐνέκειτο καὶ παρώξυνεν, αὐτὸς ἰδίᾳ τι καὶ
before pressed and goaded(-him) he privately something also
μίσους ἔχων πρὸς τὸν Καίσαρα δι' αἰτίας ἃς ἐν τοῖς
of-hatred having against — Caesar for reasons which in the
περὶ Βρούτου γεγραμμένοις δεδηλώκαμεν. εἶχε μέντοι καὶ
about Brutus written(-lives) we-have-shown had however also
δι' ὑποψίας ὁ Καῖσαρ αὐτόν, ὥστε καὶ πρὸς τοὺς φίλους
in suspicion — Caesar him so-that also to the friends
εἰπεῖν ποτε· "Τί φαίνεται βουλόμενος ὑμῖν Κάσσιος;
to-have-said once what does-he-seem wanting to-you Cassius
ἐμοὶ μὲν γὰρ οὐ λίαν ἀρέσκει λίαν ὠχρὸς ὤν." πάλιν
to-me indeed for not very he-pleases very pale being again
δὲ λέγεται, περὶ Ἀντωνίου καὶ Δολοβέλλα διαβολῆς πρὸς
and it-is-said about Antony and Dolabella a-slander to
αὐτόν, ὡς νεωτερίζοιεν, ἐλθούσης, "Οὐ πάνυ," φάναι,
him that they-plotted-revolution having-come not very to-have-said
"τούτους δέδοικα τοὺς παχεῖς καὶ κομήτας, μᾶλλον δὲ τοὺς
these I-fear the fat and long-haired more but the
ὠχροὺς καὶ λεπτοὺς ἐκείνους·" Κάσσιον λέγων καὶ Βροῦτον.
pale and thin those Cassius meaning and Brutus

Portents abound: a victim without a heart, a seer's warning against the Ides, Calpurnia's dream. Caesar would postpone the senate, but Decimus Brutus shames him into going. Artemidorus' warning stays in his hand unread. At Pompey's theater, Albinus keeps Antony outside; Tillius Cimber pulls down Caesar's toga, Casca strikes first, and Caesar, struck by every conspirator, Brutus too, covers his head and falls at the base of Pompey's statue.

63 Ἀλλ' ἔοικεν οὐχ οὕτως ἀπροσδόκητον ὡς ἀφύλακτον εἶναι
but it-seems not so unexpected as unguarded to-be
τὸ πεπρωμένον, ἐπεὶ καὶ σημεῖα θαυμαστὰ καὶ φάσματα
the destined since also signs wonderful and apparitions
φανῆναι λέγουσι. σέλα μὲν οὖν οὐράνια καὶ κτύπους
to-have-appeared they-say lights indeed then heavenly and crashes
νύκτωρ πολλαχοῦ διαφερομένους καὶ καταίροντας εἰς
by-night in-many-places borne-about and alighting in
ἀγορὰν ἐρήμους ὄρνιθας οὐκ ἄξιον ἴσως ἐπὶ πάθει τηλικούτῳ
forum solitary birds not worth perhaps for an-event so-great
μνημονεῦσαι· Στράβων δὲ ὁ φιλόσοφος ἱστορεῖ πολλοὺς μὲν
to-mention Strabo but the philosopher records many indeed
ἀνθρώπους διαπύρους ἐπιφερομένους φανῆναι, στρατιώτου
men fiery rushing-on to-have-appeared of-a-soldier
δὲ ἀνδρὸς οἰκέτην ἐκ τῆς χειρὸς ἐκβαλεῖν πολλὴν φλόγα
and of-a-man a-slave from the hand to-have-thrown much flame
καὶ δοκεῖν καίεσθαι τοῖς ὁρῶσιν, ὡς δὲ ἐπαύσατο, μηδὲν
and to-seem to-be-burning to-those seeing when but it-ceased nothing
ἔχειν κακὸν τὸν ἄνθρωπον· αὐτῷ δὲ Καίσαρι θύοντι τὴν
to-have harm the man to-himself and Caesar sacrificing the
καρδίαν ἀφανῆ γενέσθαι τοῦ ἱερείου καὶ δεινὸν εἶναι τὸ
heart missing to-have-been of-the victim and terrible to-be the
τέρας· οὐ γὰρ ἂν φύσει γε συστῆναι ζῷον ἀκάρδιον.
portent not for — by-nature at-least could-subsist an-animal heartless

ἔστι δὲ καὶ ταῦτα πολλῶν ἀκοῦσαι διεξιόντων, ὡς τις
it-is-possible and also these-things from-many to-hear relating that a
αὐτῷ μάντις ἡμέρᾳ Μαρτίου μηνός, ἣν Εἰδοὺς Ῥωμαῖοι
for-him seer on-a-day of-March month which Ides Romans
καλοῦσι, προείποι μέγαν φυλάττεσθαι κίνδυνον· ἐλθούσης
call warned great to-beware-of a-danger having-come
δὲ τῆς ἡμέρας προϊὼν ὁ Καῖσαρ εἰς τὴν σύγκλητον
and the day going-forth — Caesar to the senate
ἀσπασάμενος προσπαίξειε τῷ μάντει φάμενος· "Αἱ μὲν
having-greeted(-him) jested at-the seer saying the indeed
δὴ Μάρτιαι Εἰδοὶ πάρεισιν" ὁ δὲ ἡσυχῇ πρὸς αὐτὸν
indeed Martian Ides are-here he and quietly to him
εἶποι· "Ναὶ πάρεισιν, ἀλλ' οὐ παρεληλύθασι." πρὸ μιᾶς δὲ
said yes they-are-here but not they-have-passed before one and
ἡμέρας Μάρκου Λεπίδου δειπνίζοντος αὐτὸν ἔτυχε μὲν
day Marcus Lepidus entertaining him he-happened indeed
ἐπιστολαῖς ὑπογράφων, ὥσπερ εἰώθει, κατακείμενος·
letters signing as he-was-accustomed reclining
ἐμπεσόντος δὲ λόγου ποῖος ἄρα τῶν θανάτων ἄριστος,
having-fallen and talk what then of-the deaths best
ἅπαντας φθάσας ἐξεβόησεν· "Ὁ ἀπροσδόκητος." μετὰ
all having-anticipated he-cried-out the unexpected after
ταῦτα κοιμώμενος, ὥσπερ εἰώθει, παρὰ τῇ γυναικί,
these-things sleeping as he-was-accustomed beside the wife
πασῶν ἅμα τῶν θυρῶν τοῦ δωματίου καὶ τῶν θυρίδων
all at-once the doors of-the bedchamber and the windows
ἀναπεταννυμένων, διαταραχθεὶς ἅμα τῷ κτύπῳ καὶ τῷ
flying-open confounded at-once by-the noise and the
φωτὶ καταλαμπούσης τῆς σελήνης, ᾔσθετο τὴν Καλπουρνίαν
light shining-down the moon he-perceived — Calpurnia
βαθέως μὲν καθεύδουσαν, ἀσαφεῖς δὲ φωνὰς καὶ στεναγμοὺς
deeply indeed sleeping indistinct and words and groans

ἀνάρθρους ἀναπέμπουσαν ἐκ τῶν ὕπνων· ἐδόκει δὲ ἄρα
inarticulate sending-up from the sleep she-seemed and then
κλαίειν ἐκεῖνον ἐπὶ ταῖς ἀγκάλαις ἔχουσα κατεσφαγμένον.
to-weep-for him in the arms holding murdered
Οἱ δὲ οὔ φασι τῇ γυναικὶ ταύτην γενέσθαι τὴν ὄψιν· ἀλλὰ
others but not say to-the wife this to-have-come the vision but
ἦν γάρ τι τῇ Καίσαρος οἰκίᾳ προσκείμενον οἷον ἐπὶ
there-was for something to-the of-Caesar house attached as-if for
κόσμῳ καὶ σεμνότητι τῆς βουλῆς ψηφισαμένης ἀκρωτήριον,
ornament and dignity the senate having-voted a-pediment
ὡς Λίβιος ἱστορεῖ, τοῦτο ὄναρ ἡ Καλπουρνία θεασαμένη
as Livy records this in-a-dream — Calpurnia having-seen
καταρρηγνύμενον ἔδοξε ποτνιᾶσθαι καὶ δακρύειν. ἡμέρας
being-torn-down seemed to-wail and to-weep of-day
δ' οὖν γενομένης ἐδεῖτο τοῦ Καίσαρος, εἰ μὲν οἷόν
and then having-come she-begged — of-Caesar if indeed possible
τε, μὴ προελθεῖν, ἀλλ' ἀναβαλέσθαι τὴν σύγκλητον· εἰ δὲ
— not to-go-out but to-adjourn the senate if and
τῶν ἐκείνης ὀνείρων ἐλάχιστα φροντίζει, σκέψασθαι διὰ
of-the her dreams least he-cares to-inquire through
μαντικῆς ἄλλης καὶ ἱερῶν περὶ τοῦ μέλλοντος. εἶχε δέ τις, ὡς
divination other and sacrifices about the future had and some as
ἔοικε, κἀκεῖνον ὑποψία καὶ φόβος. οὐδένα γὰρ γυναικισμὸν
it-seems him-too suspicion and fear no for womanishness
ἐν δεισιδαιμονίᾳ πρότερον κατεγνώκει τῆς Καλπουρνίας,
in superstition before he-had-noticed — of-Calpurnia
τότε δὲ ἑώρα περιπαθοῦσαν. ὡς δὲ καὶ πολλὰ
then but he-saw(-her) much-distressed when and also many
καταθύσαντες οἱ μάντεις ἔφρασαν αὐτῷ δυσιερεῖν,
having-sacrificed the seers told him the-omens-were-unfavorable
ἔγνω πέμψας Ἀντώνιον ἀφεῖναι τὴν σύγκλητον.
he-resolved having-sent Antony to-dismiss the senate

Ἐν δὲ τούτῳ Δέκιμος Βροῦτος ἐπίκλησιν Ἀλβῖνος, 64
in and this Decimus Brutus by-surname Albinus
πιστευόμενος μὲν ὑπὸ Καίσαρος, ὥστε καὶ δεύτερος ὑπ᾽
trusted indeed by Caesar so-that even second by
αὐτοῦ κληρονόμος γεγράφθαι, τοῖς δὲ περὶ Βροῦτον τὸν
him heir to-have-been-written with-those and around Brutus the
ἕτερον καὶ Κάσσιον μετέχων τῆς συνωμοσίας, φοβηθεὶς μὴ
other and Cassius sharing-in the conspiracy having-feared lest
τὴν ἡμέραν ἐκείνην διακρουσαμένου τοῦ Καίσαρος ἔκπυστος
the day that having-put-off — of-Caesar disclosed
ἡ πρᾶξις γένηται, τούς τε μάντεις ἐχλεύαζε καὶ καθήπτετο
the deed become the both seers he-mocked and attacked
τοῦ Καίσαρος, ὡς αἰτίας καὶ διαβολὰς ἑαυτῷ κτωμένου πρὸς
— of-Caesar as charges and slanders for-himself acquiring with
τὴν σύγκλητον ἐντρυφᾶσθαι δοκοῦσαν· ἥκειν μὲν γὰρ
the senate to-be-trifled-with thinking to-have-come indeed for
αὐτὴν κελεύσαντος ἐκείνου, καὶ προθύμους εἶναι ψηφίζεσθαι
it having-ordered him and eager to-be to-vote
πάντας ὅπως τῶν ἐκτὸς Ἰταλίας ἐπαρχιῶν βασιλεὺς
all that of-the outside Italy provinces king
ἀναγορεύοιτο καὶ φοροίη διάδημα τὴν ἄλλην ἐπιὼν γῆν
he-should-be-proclaimed and should-wear a-diadem the other going-over land
καὶ θάλασσαν· εἰ δὲ φράσει τις αὐτοῖς καθεζομένοις νῦν
and sea if and will-tell someone to-them seated now
μὲν ἀπαλλάττεσθαι, παρεῖναι δὲ αὖθις ὅταν ἐντύχῃ
indeed to-depart to-be-present and again whenever should-meet-with
βελτίοσιν ὀνείροις Καλπουρνία, τίνας ἔσεσθαι λόγους
better dreams Calpurnia what will-be speeches
παρὰ τῶν φθονούντων; ἢ τίνα τῶν φίλων ἀνέξεσθαι
from the envious or who of-the friends will-endure
διδασκόντων ὡς οὐχὶ δουλεία ταῦτα καὶ τυραννίς ἐστιν;
teaching that not slavery these-things and tyranny is

ἀλλ᾽ εἰ δοκεῖ πάντως, ἔφη, τὴν ἡμέραν ἀφοσιώσασθαι,
but if it-seems-good altogether he-said the day to-avert-as-ill-omened
βέλτιον αὐτὸν παρελθόντα καὶ προσαγορεύσαντα τὴν
better him having-come and having-addressed the
βουλὴν ὑπερθέσθαι. ταῦθ᾽ ἅμα λέγων ὁ Βροῦτος ἦγε
senate to-adjourn(-it) these-things at-once saying — Brutus led
τῆς χειρὸς λαβόμενος τὸν Καίσαρα. καὶ μικρὸν μὲν αὐτῷ
by-the hand having-taken — Caesar and a-little indeed him
προελθόντι τῶν θυρῶν οἰκέτης ἀλλότριος ἐντυχεῖν
having-gone-forward from-the doors a-servant another's to-meet(-him)
προθυμούμενος, ὡς ἠττᾶτο τοῦ περὶ ἐκεῖνον ὠθισμοῦ καὶ
eager when he-was-beaten by-the around him jostling and
πλήθους, βιασάμενος εἰς τὴν οἰκίαν παρέδωκεν ἑαυτὸν
crowd having-forced-his-way into the house handed-over himself
τῇ Καλπουρνίᾳ, φυλάττειν κελεύσας ἄχρι ἂν ἐπανέλθῃ
— to-Calpurnia to-guard(-him) having-bidden until — should-return
Καῖσαρ, ὡς ἔχων μεγάλα πράγματα κατειπεῖν πρὸς αὐτόν.
Caesar as having great matters to-disclose to him
65 Ἀρτεμίδωρος δὲ Κνίδιος τὸ γένος, Ἑλληνικῶν λόγων
Artemidorus and a-Cnidian the by-birth of-Greek letters
σοφιστὴς καὶ διὰ τοῦτο γεγονὼς ἐνίοις συνήθης τῶν περὶ
a-teacher and through this having-become to-some intimate of-those around
Βροῦτον, ὥστε καὶ γνῶναι τὰ πλεῖστα τῶν πραττομένων,
Brutus so-that even to-know the most of-the doings
ἦκε μὲν ἐν βιβλιδίῳ κομίζων ἅπερ ἔμελλε μηνύειν, ὁρῶν
came indeed in a-small-scroll bringing what he-was-going to-disclose seeing
δὲ τὸν Καίσαρα τῶν βιβλιδίων ἕκαστον δεχόμενον καὶ
but — Caesar the scrolls each receiving and
παραδιδόντα τοῖς περὶ αὐτὸν ὑπηρέταις, ἐγγὺς σφόδρα
handing(-them)-over to-the around him attendants near very
προσελθών, "Τοῦτο," ἔφη, "Καῖσαρ, ἀνάγνωθι μόνος καὶ
having-come this he-said Caesar read alone and

ταχέως· γέγραπται γὰρ ὑπὲρ πραγμάτων μεγάλων καί σοι
quickly it-is-written for about matters great and to-you
διαφερόντων.” δεξάμενος οὖν ὁ Καῖσαρ ἀναγνῶναι μὲν
important having-received then — Caesar to-read indeed
ὑπὸ πλήθους τῶν ἐντυγχανόντων ἐκωλύθη, καίπερ ὁρμήσας
by the-crowd of-those meeting(-him) was-prevented although having-started
πολλάκις, ἐν δὲ τῇ χειρὶ κατέχων καὶ φυλάττων μόνον
often in but the hand holding and keeping only
ἐκεῖνο παρῆλθεν εἰς τὴν σύγκλητον. ἔνιοι δέ φασιν ἄλλον
that he-went into the senate some and say another
ἐπιδοῦναι τὸ βιβλίον τοῦτο, τὸν δ’ Ἀρτεμίδωρον οὐδὲ ὅλως
to-have-handed the scroll this — and Artemidorus not-even at-all
προσελθεῖν, ἀλλ’ ἐκθλιβῆναι παρὰ πᾶσαν τὴν ὁδόν.
to-have-approached but to-have-been-squeezed-out along all the way
Ἀλλὰ ταῦτα μὲν ἤδη που φέρει καὶ τὸ αὐτόματον· 66
but these-things indeed already somehow brings also the chance
ὁ δὲ δεξάμενος τὸν φόνον ἐκεῖνον καὶ τὸν ἀγῶνα χῶρος,
the and having-received the murder that and the struggle place
εἰς ὃν ἡ σύγκλητος ἠθροίσθη τότε, Πομπηΐου μὲν
in which the senate was-assembled then of-Pompey indeed
εἰκόνα κειμένην ἔχων, Πομπηΐου δὲ ἀνάθημα γεγονὼς τῶν
a-statue set-up having of-Pompey and a-dedication having-been of-the
προσκεκοσμημένων τῷ θεάτρῳ, παντάπασιν ἀπέφαινε
having-been-added-as-ornaments to-the theater altogether showed
δαίμονός τινος ὑφηγουμένου καὶ καλοῦντος ἐκεῖ τὴν
of-a-spirit some leading and calling there the
πρᾶξιν ἔργον γεγονέναι. καὶ γὰρ οὖν καὶ λέγεται Κάσσιος
deed the-work to-have-been and for then also is-said Cassius
εἰς τὸν ἀνδριάντα τοῦ Πομπηΐου πρὸ τῆς ἐγχειρήσεως
at the statue — of-Pompey before the attempt
ἀποβλέπων ἐπικαλεῖσθαι σιωπῇ, καίπερ οὐκ ἀλλότριος
looking to-invoke(-it) in-silence although not alien

ὢν τῶν Ἐπικούρου λόγων· ἀλλ᾽ ὁ καιρός, ὡς ἔοικεν,
being to-the of-Epicurus doctrines but the moment as it-seems
ἤδη τοῦ δεινοῦ παρεστῶτος ἐνθουσιασμὸν ἐνεποίει καὶ
already of-the terror being-at-hand enthusiasm produced and
πάθος ἀντὶ τῶν προτέρων λογισμῶν.
passion instead-of the former reasonings
Ἀντώνιον μὲν οὖν πιστὸν ὄντα Καίσαρι καὶ ῥωμαλέον
Antony indeed then faithful being to-Caesar and strong
ἔξω παρακατεῖχε Βροῦτος Ἀλβῖνος, ἐμβαλὼν ἐπίτηδες
outside detained Brutus Albinus having-started on-purpose
ὁμιλίαν μῆκος ἔχουσαν· εἰσιόντος δὲ Καίσαρος ἡ βουλὴ
a-conversation length having entering and Caesar the senate
μὲν ὑπεξανέστη θεραπεύουσα, τῶν δὲ περὶ Βροῦτον οἱ
indeed rose-up paying-respect of-the and around Brutus the
μὲν ἐξόπισθεν τὸν δίφρον αὐτοῦ περιέστησαν, οἱ δὲ
some from-behind the chair his stood-around the others
ἀπήντησαν, ὡς δὴ Τιλλίῳ Κίμβρῳ περὶ ἀδελφοῦ
came-to-meet(-him) as indeed with-Tillius Cimber for a-brother
φυγάδος ἐντυγχάνοντι συνδεησόμενοι, καὶ συνεδέοντο μέχρι
in-exile pleading going-to-join-in-entreaty and joined-in-entreaty as-far-as
τοῦ δίφρου παρακολουθοῦντες. ὡς δὲ καθίσας διεκρούετο
the chair following-along when and having-sat he-rejected
τὰς δεήσεις καὶ προσκειμένων βιαιότερον ἠγανάκτει πρὸς
the entreaties and pressing more-violently he-grew-angry with
ἕκαστον, ὁ μὲν Τίλλιος τὴν τήβεννον αὐτοῦ ταῖς χερσὶν
each — indeed Tillius the toga his with-the hands
ἀμφοτέραις συλλαβὼν ἀπὸ τοῦ τραχήλου κατῆγεν· ὅπερ
both having-seized from the neck pulled-down which-indeed
ἦν σύνθημα τῆς ἐπιχειρήσεως. πρῶτος δὲ Κάσκας ξίφει
was the-signal for-the attempt first and Casca with-a-sword
παίει παρὰ τὸν αὐχένα πληγὴν οὐ θανατηφόρον οὐδὲ βαθεῖαν,
strikes by the neck a-blow not deadly nor deep

ἀλλ', ὡς εἰκός, ἐν ἀρχῇ τολμήματος μεγάλου ταραχθείς,
but as was-likely at beginning of-a-venture great confused
ὥστε καὶ τὸν Καίσαρα μεταστραφέντα τοῦ ἐγχειριδίου
so-that even — Caesar having-turned-round the dagger
λαβέσθαι καὶ κατασχεῖν. ἅμα δέ πως ἐξεφώνησαν ὁ μὲν
to-seize and to-hold at-once and somehow cried-out the indeed
πληγεὶς Ῥωμαϊστί· "Μιαρώτατε Κάσκα, τί ποιεῖς;" ὁ δὲ
struck in-Latin most-villainous Casca what are-you-doing the and
πλήξας Ἑλληνιστὶ πρὸς τὸν ἀδελφόν· "Ἀδελφέ, βοήθει."
having-struck in-Greek to the brother brother help
Τοιαύτης δὲ τῆς ἀρχῆς γενομένης τοὺς μὲν οὐδὲν συνειδότας
such and the beginning having-been those indeed nothing knowing
ἔκπληξις εἶχε καὶ φρίκη πρὸς τὰ δρώμενα, μήτε φεύγειν
consternation held and horror at the doings neither to-flee
μήτε ἀμύνειν, ἀλλὰ μηδὲ φωνὴν ἐκβάλλειν τολμῶντας.
nor to-defend but not-even a-sound to-utter daring
τῶν δὲ παρεσκευασμένων ἐπὶ τὸν φόνον ἑκάστου γυμνὸν
of-the and prepared for the murder each bare
ἀποδείξαντος τὸ ξίφος, ἐν κύκλῳ περιεχόμενος καὶ πρὸς
having-shown the sword in a-circle encompassed and toward
ὅ τι τρέψειε τὴν ὄψιν πληγαῖς ἀπαντῶν καὶ σιδήρῳ
what ever he-turned the face blows meeting and with-iron
φερομένῳ καὶ κατὰ προσώπου καὶ κατ' ὀφθαλμῶν
borne and in face and in eyes
διελαυνόμενος ὥσπερ θηρίον ἐνειλεῖτο ταῖς πάντων
being-driven like a-wild-beast he-was-entangled in-the of-all
χερσίν· ἅπαντας γὰρ ἔδει κατάρξασθαι καὶ γεύσασθαι τοῦ
hands all for had to-begin and to-taste-of the
φόνου. διὸ καὶ Βροῦτος αὐτῷ πληγὴν ἐνέβαλε μίαν εἰς
murder therefore also Brutus him a-blow inflicted one in
τὸν βουβῶνα. λέγεται δὲ ὑπό τινων ὡς ἄρα πρὸς τοὺς
the groin it-is-said and by some that then against the

ἄλλους ἀπομαχόμενος καὶ διαφέρων δεῦρο κἀκεῖ τὸ σῶμα
others fighting-off and carrying hither and-thither the body
καὶ κεκραγώς, ὅτε Βροῦτον εἶδεν ἐσπασμένον τὸ ξίφος,
and crying-out when Brutus he-saw having-drawn the sword
ἐφειλκύσατο κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον καὶ παρῆκεν
he-drew down-over the head the toga and let-fall
ἑαυτόν, εἴτε ἀπὸ τύχης εἴτε ὑπὸ τῶν κτεινόντων ἀπωσθείς,
himself whether by chance or by the killers pushed
πρὸς τὴν βάσιν ἐφ' ἧς ὁ Πομπηΐου βέβηκεν ἀνδριάς. καὶ
against the base on which the of-Pompey stands statue and
πολὺ καθῆμαξεν αὐτὴν ὁ φόνος, ὡς δοκεῖν αὐτὸν ἐφεστάναι
much drenched it the murder so-that to-seem himself to-preside-over
τῇ τιμωρίᾳ τοῦ πολεμίου Πομπηΐου ὑπὸ πόδας κεκλιμένου
the vengeance of-the enemy Pompey under feet lying
καὶ περισπαίροντος ὑπὸ πλήθους τραυμάτων. εἴκοσι γὰρ
and quivering from multitude of-wounds twenty for
καὶ τρία λαβεῖν λέγεται· καὶ πολλοὶ κατετρώθησαν ὑπ'
and three to-have-received he-is-said and many were-wounded by
ἀλλήλων, εἰς ἓν ἀπερειδόμενοι σῶμα πληγὰς τοσαύτας.
each-other into one aiming body blows so-many

XVII · AFTER THE MURDER

The senate flees, and the conspirators march to the Capitol. The senate grants amnesty and honors Caesar as a god. When his will and wounded body are shown, the people burn him in the forum and hunt the assassins, tearing apart his friend Cinna by mistake. Caesar dies at fifty-six, and his spirit pursues his killers: Cassius dies by the same dagger, a comet and a dim sun follow, and a phantom twice visits Brutus, who dies by his own sword at Philippi.

Κατειργασμένου δὲ τοῦ ἀνδρὸς ἡ μὲν γερουσία, καίπερ εἰς 67
having-been-dispatched and the man the indeed senate although into
μέσον ἐλθόντος Βρούτου ὥς τι περὶ τῶν πεπραγμένων
the-middle having-come Brutus as something about the done(-deeds)
ἐροῦντος, οὐκ ἀνασχομένη διὰ θυρῶν ἐξέπιπτε καὶ φεύγουσα
going-to-say not having-endured through doors rushed-out and fleeing
κατέπλησε ταραχῆς καὶ δέους ἀπόρου τὸν δῆμον, ὥστε
filled with-confusion and fear helpless the people so-that
τοὺς μὲν οἰκίας κλείειν, τοὺς δὲ ἀπολείπειν τραπέζας καὶ
the some houses to-shut the others to-leave tables and
χρηματιστήρια, δρόμῳ δὲ χωρεῖν τοὺς μὲν ἐπὶ τὸν τόπον
money-counters with-running and to-go the some to the place
ὀψομένους τὸ πάθος, τοὺς δὲ ἐκεῖθεν ἑωρακότας. Ἀντώνιος
going-to-see the calamity the others from-there having-seen(-it) Antony
δὲ καὶ Λέπιδος οἱ μάλιστα φίλοι Καίσαρος ὑπεκδύντες εἰς
and and Lepidus the most friends of-Caesar having-slipped-away into
οἰκίας ἑτέρας κατέφυγον. οἱ δὲ περὶ Βροῦτον, ὥσπερ ἦσαν
houses other fled-for-refuge those and around Brutus as they-were
ἔτι θερμοὶ τῷ φόνῳ, γυμνὰ τὰ ξίφη δεικνύντες, ἅμα
still hot from-the murder bare the swords showing at-once
πάντες ἀπὸ τοῦ βουλευτηρίου συστραφέντες ἐχώρουν εἰς τὸ
all from the senate-house having-formed-a-body went to the
Καπιτώλιον, οὐ φεύγουσιν ἐοικότες, ἀλλὰ μάλα φαιδροὶ καὶ
Capitol not fleeing resembling but very cheerful and
θαρραλέοι, παρακαλοῦντες ἐπὶ τὴν ἐλευθερίαν τὸ πλῆθος
confident urging to the freedom the multitude
καὶ προσδεχόμενοι τοὺς ἀρίστους τῶν ἐντυγχανόντων.
and receiving the best of-those meeting(-them)
ἔνιοι δὲ καὶ συνανέβαινον αὐτοῖς καὶ κατεμίγνυσαν ἑαυτοὺς
some and also went-up-with them and mingled themselves
ὡς μετεσχηκότες τοῦ ἔργου καὶ προσεποιοῦντο τὴν δόξαν,
as having-shared-in the deed and laid-claim-to the glory

ὧν ἦν καὶ Γάϊος Ὀκταούϊος καὶ Λέντλος Σπινθήρ.
among-whom was also Gaius Octavius and Lentulus Spinther
οὗτοι μὲν οὖν τῆς ἀλαζονείας δίκην ἔδωκαν ὕστερον
these indeed then for-the imposture penalty paid later
ὑπὸ Ἀντωνίου καὶ τοῦ νέου Καίσαρος ἀναιρεθέντες καὶ
by Antony and the young Caesar killed and
μηδὲ τῆς δόξης, δι' ἣν ἀπέθνησκον, ἀπολαύσαντες
not-even the glory for which they-were-dying having-enjoyed
ἀπιστίᾳ τῶν ἄλλων. οὐδὲ γὰρ οἱ κολάζοντες αὐτοὺς
through-disbelief of-the others not-even for those punishing them
τῆς πράξεως, ἀλλὰ τῆς βουλήσεως τὴν δίκην ἔλαβον.
for-the deed but for-the intention the penalty took
Μεθ' ἡμέραν δὲ τῶν περὶ Βροῦτον κατελθόντων καὶ
after day and those around Brutus having-come-down and
ποιησαμένων λόγους, ὁ μὲν δῆμος οὔτε δυσχεραίνων οὔτε
having-made speeches the indeed people neither resenting nor
ὡς ἐπαινῶν τὰ πεπραγμένα τοῖς λεγομένοις προσεῖχεν,
as approving the done(-deeds) to-the speeches attended
ἀλλ' ὑπεδήλου τῇ πολλῇ σιωπῇ Καίσαρα μὲν οἰκτείρων,
but showed by-the great silence Caesar indeed pitying
αἰδούμενος δὲ Βροῦτον, ἡ δὲ σύγκλητος ἀμνηστίας τινὰς
respecting and Brutus the and senate amnesties some
καὶ συμβάσεις πράττουσα πᾶσι Καίσαρα μὲν ὡς θεὸν
and agreements working-out for-all Caesar indeed as a-god
τιμᾶν ἐψηφίσατο καὶ κινεῖν μηδὲ τὸ μικρότατον ὧν
to-honor voted and to-change not-even the smallest of-what
ἐκεῖνος ἄρχων ἐβούλευσε, τοῖς δὲ περὶ Βροῦτον ἐπαρχίας
he ruling had-planned to-those and around Brutus provinces
τε διένειμε καὶ τιμὰς ἀπέδωκε πρεπούσας, ὥστε πάντας
both distributed and honors gave befitting so-that all

οἴεσθαι τὰ πράγματα κατάστασιν ἔχειν καὶ σύγκρασιν
to-think the affairs settlement to-have and blending
ἀπειληφέναι τὴν ἀρίστην.
to-have-received the best
Ἐπεὶ δὲ τῶν διαθηκῶν τῶν Καίσαρος ἀνοιχθεισῶν εὑρέθη 68
when and the will — of-Caesar having-been-opened was-found
δεδομένη Ῥωμαίων ἑκάστῳ δόσις ἀξιόλογος, καὶ τὸ
given of-Romans to-each a-gift considerable and the
σῶμα κομιζόμενον δι᾽ ἀγορᾶς ἐθεάσαντο ταῖς πληγαῖς
body being-carried through forum they-saw by-the wounds
διαλελωβημένον, οὐκέτι κόσμον εἶχεν οὐδὲ τάξιν αὐτῶν
disfigured no-longer order had nor discipline their
τὸ πλῆθος, ἀλλὰ τῷ μὲν νεκρῷ περισωρεύσαντες ἐξ
the multitude but for-the indeed corpse having-heaped-up from
ἀγορᾶς βάθρα καὶ κιγκλίδας καὶ τραπέζας ὑφῆψαν αὐτοῦ
forum benches and railings and tables they-set-fire there
καὶ κατέκαυσαν, ἁράμενοι δὲ δαλοὺς διαπύρους ἔθεον
and burned(-it) having-taken-up and brands fiery they-ran
ἐπὶ τὰς οἰκίας τῶν ἀνῃρηκότων ὡς καταφλέξοντες,
to the houses of-the having-killed(-him) as going-to-burn(-them)
ἄλλοι δὲ ἐφοίτων πανταχόσε τῆς πόλεως συλλαβεῖν καὶ
others and went everywhere of-the city to-seize and
διασπάσασθαι τοὺς ἄνδρας ζητοῦντες. οἷς ἐκείνων μὲν
to-tear-apart the men seeking whom of-them indeed
οὐδεὶς ἀπήντησεν, ἀλλὰ εὖ πεφραγμένοι πάντες ἦσαν.
none met but well fortified all were
Κίννας δέ τις τῶν Καίσαρος ἑταίρων ἔτυχε μέν, ὥς φασι,
Cinna and a of-the of-Caesar companions happened indeed as they-say
τῆς παρῳχημένης νυκτὸς ὄψιν ἑωρακὼς ἄτοπον· ἐδόκει
in-the past night a-vision to-have-seen strange he-seemed
γὰρ ὑπὸ Καίσαρος ἐπὶ δεῖπνον καλεῖσθαι, παραιτούμενος
for by Caesar to dinner to-be-invited declining

δὲ ἄγεσθαι τῆς χειρὸς ὑπ᾽ αὐτοῦ μὴ βουλόμενος, ἀλλ᾽
and to-be-led by-the hand by him not willing but
ἀντιτείνων. ὡς δ᾽ ἤκουσεν ἐν ἀγορᾷ τὸ σῶμα καίεσθαι τοῦ
resisting when and he-heard in forum the body to-be-burning —
Καίσαρος, ἀναστὰς ἐβάδιζεν ἐπὶ τιμῇ, καίπερ ὑφορώμενός
of-Caesar having-risen he-went for honor although suspecting
τε τὴν ὄψιν ἅμα καὶ πυρέττων. καί τις ὀφθέντος
both the vision at-once and being-feverish and someone having-been-seen
αὐτοῦ τῶν πολλῶν ἔφρασεν ἑτέρῳ τοὔνομα πυνθανομένῳ,
him of-the many told to-another the-name inquiring
κἀκεῖνος ἄλλῳ, καὶ διὰ πάντων εὐθὺς ἦν ὡς οὗτός
and-he to-another and through all at-once it-was that this
ἐστιν ὁ ἀνὴρ τῶν ἀνῃρηκότων Καίσαρα· καὶ γὰρ ἦν
is the man of-the having-killed Caesar and for there-was
τις ὁμώνυμος ἐκείνῳ Κίννας ἐν τοῖς συνομοσαμένοις, ὃν
a namesake to-that-one Cinna among the conspirators whom
τοῦτον εἶναι προλαβόντες ὥρμησαν εὐθὺς καὶ διέσπασαν
this to-be presuming they-rushed at-once and tore-apart
ἐν μέσῳ τὸν ἄνθρωπον. τοῦτο μάλιστα δείσαντες οἱ περὶ
in midst the man this most having-feared those around
Βροῦτον καὶ Κάσσιον οὐ πολλῶν ἡμερῶν διαγενομένων
Brutus and Cassius not many days having-passed
ἀπεχώρησαν ἐκ τῆς πόλεως, ἃ δὲ καὶ πράξαντες καὶ
withdrew from the city what and both having-done and
παθόντες ἐτελεύτησαν, ἐν τοῖς περὶ Βροῦτον γέγραπται.
having-suffered they-ended in the(-writings) about Brutus has-been-written

69 Θνήσκει δὲ Καῖσαρ τὰ μὲν πάντα γεγονὼς ἔτη
dies and Caesar the indeed all having-lived years
πεντήκοντα καὶ ἕξ, Πομπηΐῳ δ᾽ ἐπιβιώσας οὐ πολὺ
fifty and six Pompey and having-outlived not much
πλέον ἐτῶν τεσσάρων, ἣν δὲ τῷ βίῳ παντὶ ἀρχὴν
more than-years four which and in-the life whole power

καὶ δυναστείαν διὰ κινδύνων τοσούτων διώκων μόλις
and dominion through dangers so-great pursuing barely
κατειργάσατο, ταύτης οὐδὲν ὅτι μὴ τοὔνομα μόνον καὶ
he-achieved of-this nothing other than the-name only and
τὴν ἐπίφθονον καρπωσάμενος δόξαν παρὰ τῶν πολιτῶν.
the invidious having-reaped glory from the citizens
ὁ μέντοι μέγας αὐτοῦ δαίμων, ᾧ παρὰ τὸν βίον
the however great his guardian-spirit which through the life
ἐχρήσατο, καὶ τελευτήσαντος ἐπηκολούθησε τιμωρὸς τοῦ
he-had even having-died followed avenger of-the
φόνου, διά τε γῆς πάσης καὶ θαλάττης ἐλαύνων καὶ
murder through both land all and sea driving and
ἀνιχνεύων ἄχρι τοῦ μηδένα λιπεῖν τῶν ἀπεκτονότων,
tracking-down until the none to-leave of-those having-killed(-him)
ἀλλὰ καὶ τοὺς καθ' ὁτιοῦν ἢ χειρὶ τοῦ ἔργου
but also those in anything-whatever either by-hand the deed
θιγόντας ἢ γνώμης μετασχόντας ἐπεξελθεῖν.
having-touched or in-counsel having-shared to-punish
Θαυμασιώτατον δὲ τῶν μὲν ἀνθρωπίνων τὸ περὶ
most-wonderful and of-the indeed human(-things) the(-fate) of
Κάσσιον· ἡττηθεὶς γὰρ ἐν Φιλίπποις ἐκείνῳ τῷ ξιφιδίῳ
Cassius having-been-defeated for at Philippi with-that the dagger
διέφθειρεν ἑαυτὸν ᾧ κατὰ Καίσαρος ἐχρήσατο· τῶν δὲ
destroyed himself which against Caesar he-had-used of-the and
θείων ὅ τε μέγας κομήτης (ἐφάνη γὰρ ἐπὶ νύκτας ἑπτὰ
divine(-signs) the both great comet appeared for for nights seven
μετὰ τὴν Καίσαρος σφαγὴν διαπρεπής, εἶτα ἠφανίσθη) καὶ
after the of-Caesar murder conspicuous then vanished and
τὸ περὶ τὸν ἥλιον ἀμαύρωμα τῆς αὐγῆς. ὅλον γὰρ ἐκεῖνον
the about the sun dimming of-the light whole for that
τὸν ἐνιαυτὸν ὠχρὸς μὲν ὁ κύκλος καὶ μαρμαρυγὰς οὐκ
the year pale indeed the disk and radiance not

ἔχων ἀνέτελλεν, ἀδρανὲς δὲ καὶ λεπτὸν ἀπ᾽ αὐτοῦ κατῄει
having rose feeble and also weak from it came-down
τὸ θερμόν, ὥστε τὸν μὲν ἀέρα δνοφερὸν καὶ βαρὺν ἀσθενείᾳ
the warmth so-that the indeed air dark and heavy from-weakness
τῆς διακρινούσης αὐτὸν ἀλέας ἐπιφέρεσθαι, τοὺς δὲ καρποὺς
of-the dispersing it warmth to-be-borne-in the and fruits
ἡμιπέπτους καὶ ἀτελεῖς ἀπανθῆσαι καὶ παρακμάσαι
half-ripe and imperfect to-have-shed-blossom and to-have-withered
διὰ τὴν ψυχρότητα τοῦ περιέχοντος. μάλιστα δὲ τὸ
because-of the coldness of-the surrounding(-air) most but the
Βρούτῳ γενόμενον φάσμα τὴν Καίσαρος ἐδήλωσε σφαγὴν
to-Brutus having-occurred phantom the of-Caesar showed murder
οὐ γενομένην θεοῖς ἀρεστήν· ἦν δὲ τοιόνδε. μέλλων τὸν
not having-been to-gods pleasing it-was and as-follows being-about the
στρατὸν ἐξ Ἀβύδου διαβιβάζειν εἰς τὴν ἑτέραν ἤπειρον
army from Abydos to-take-across to the other continent
ἀνεπαύετο νυκτός, ὥσπερ εἰώθει, κατὰ σκηνήν, οὐ
he-was-resting by-night as he-was-accustomed in tent not
καθεύδων, ἀλλὰ φροντίζων περὶ τοῦ μέλλοντος· λέγεται γὰρ
sleeping but thinking about the future is-said for
οὗτος ἀνὴρ ἥκιστα δὴ τῶν στρατηγῶν ὑπνώδης γενέσθαι
this the-man least indeed of-the generals sleepy to-have-been
καὶ πλεῖστον ἑαυτῷ χρόνον ἐγρηγορότι χρῆσθαι πεφυκώς·
and most for-himself time waking to-use by-nature-disposed
ψόφου δέ τινος αἰσθέσθαι περὶ τὴν θύραν ἔδοξε, καὶ πρὸς
a-noise and some to-perceive near the door he-thought and by
τὸ τοῦ λύχνου φῶς ἤδη καταφερομένου σκεψάμενος ὄψιν
the of-the lamp light already sinking having-looked a-vision
εἶδε φοβερὰν ἀνδρὸς ἐκφύλου τὸ μέγεθος καὶ χαλεποῦ τὸ
saw terrible of-a-man monstrous in-the size and harsh in-the
εἶδος, ἐκπλαγεὶς δὲ τὸ πρῶτον, ὡς ἑώρα μήτε πράττοντά
form astonished but at-the first when he-saw neither doing

τι μήτε φθεγγόμενον, ἀλλὰ ἑστῶτα σιγῇ παρὰ τὴν κλίνην,
anything nor speaking but standing silent by the couch
ἠρώτα ὅστις ἐστίν. ἀποκρίνεται δ᾽ αὐτῷ τὸ φάσμα· "Ὁ σός,
he-asked who he-is answers and to-him the phantom the your
ὦ Βροῦτε, δαίμων κακός· ὄψει δέ με περὶ Φιλίππους."
O Brutus spirit evil you-will-see and me at Philippi
τότε μὲν οὖν ὁ Βροῦτος εὐθαρσῶς, "Ὀψομαι," εἶπε· καὶ τὸ
then indeed then — Brutus courageously I-shall-see(-you) said and the
δαιμόνιον εὐθὺς ἐκποδὼν ἀπῆλθε. τῷ δ᾽ ἱκνουμένῳ χρόνῳ
spirit at-once out-of-the-way departed in-the and coming time
περὶ τοὺς Φιλίππους ἀντιταχθεὶς Ἀντωνίῳ καὶ Καίσαρι
near — Philippi arrayed-against Antony and Caesar
τῇ μὲν πρώτῃ μάχῃ κρατήσας τὸ καθ᾽ ἑαυτὸν
in-the indeed first battle having-prevailed the(-wing) against himself
ἐτρέψατο καὶ διεξήλασε πορθῶν τὸ Καίσαρος στρατόπεδον,
he-routed and drove-through sacking the of-Caesar camp
τὴν δὲ δευτέραν αὐτῷ μάχεσθαι μέλλοντι φοιτᾷ τὸ αὐτὸ
the and second him to-fight being-about visits the same
φάσμα τῆς νυκτὸς αὖθις, οὐχ ὥστε τι προσειπεῖν,
phantom by-the night again not so-that anything to-say
ἀλλὰ συνεὶς ὁ Βροῦτος τὸ πεπρωμένον ἔρριψε φέρων
but having-understood — Brutus the destined threw rushing
ἑαυτὸν εἰς τὸν κίνδυνον. οὐ μὴν ἔπεσεν ἀγωνιζόμενος, ἀλλὰ
himself into the danger not indeed he-fell fighting but
τῆς τροπῆς γενομένης ἀναφυγὼν πρός τι κρημνῶδες καὶ
the rout having-occurred having-fled-up to some precipitous(-place) and
τῷ ξίφει γυμνῷ προσβαλὼν τὸ στέρνον, ἅμα καὶ φίλου
with-the sword bare having-struck the breast at-once also of-a-friend
τινός, ὥς φασι, συνεπιρρώσαντος τὴν πληγήν, ἀπέθανεν.
some as they-say having-helped-drive the blow he-died

PLUTARCH

ΚΑΤΩΝ

Cato the Younger

Cato, orphaned and raised by his uncle Drusus, shows from childhood an unbending, slow-to-learn but retentive mind. He refuses Pompaedius Silo even when dangled from a window, frees a boy shut up in a game of trials, and is chosen leader in Sulla's Troy game. In Sulla's house he asks why nobody kills the tyrant. Devoted to his brother Caepio, he takes up the Stoic Antipater's teaching and trains his voice for public speaking.

Κάτωνι δὲ τὸ μὲν γένος ἀρχὴν ἐπιφανείας ἔλαβε καὶ 1
for-Cato and the indeed family beginning of-distinction got and
δόξης ἀπὸ τοῦ προπάππου Κάτωνος, ἀνδρὸς ἐν δόξῃ καὶ
of-glory from the great-grandfather Cato a-man in glory and
δυνάμει μάλιστα Ῥωμαίων γενομένου δι' ἀρετήν, ὡς ἐν
power most of-Romans having-been through virtue as in
τοῖς περὶ ἐκείνου γέγραπται, κατελείφθη δὲ γονέων ὀρφανὸς
the about him has-been-written was-left and of-parents orphan
μετ' ἀδελφοῦ Καιπίωνος καὶ Πορκίας ἀδελφῆς. ἦν δὲ καὶ
with brother Caepio and Porcia sister was and also
Σερβιλία Κάτωνος ὁμομήτριος ἀδελφή. καὶ πάντες οὗτοι
Servilia of-Cato by-the-same-mother sister and all these
παρὰ Λιβίῳ Δρούσῳ τροφὴν καὶ δίαιταν εἶχον, θείῳ μὲν
with Livius Drusus upbringing and way-of-life had uncle indeed
ὄντι πρὸς μητρός, ἄγοντι δὲ τὴν πολιτείαν τότε· καὶ γὰρ
being on mother's(-side) leading and the state then and for
εἰπεῖν δεινότατος ἦν, καὶ τἆλλα σώφρων ἀνὴρ ἐν
to-speak most-able he-was and in-other-respects temperate a-man among
τοῖς μάλιστα, καὶ φρονήματος οὐδενὶ Ῥωμαίων ὑφιέμενος.
the most and in-spirit to-none of-Romans yielding
Λέγεται δὲ Κάτων εὐθὺς ἐκ παιδίου τῇ τε φωνῇ καὶ
it-is-said and Cato at-once from childhood in-the both voice and
τῷ προσώπῳ καὶ ταῖς περὶ τὰς παιδιὰς διατριβαῖς ἦθος
in-the face and in-the in the games pastimes a-character

ὑποφαίνειν ἄτρεπτον καὶ ἀπαθὲς καὶ βέβαιον ἐν πᾶσιν.
to-show inflexible and impassive and steadfast in all-things
ἰσχύν τε γὰρ εἶχον αὐτοῦ παρ᾽ ἡλικίαν τελεσιουργὸν αἱ
strength both for had his beyond age accomplishing the
ὁρμαί, καὶ τοῖς κολακεύουσι τραχὺς ὢν καὶ προσάντης,
impulses and to-the flatterers harsh being and repellent
ἔτι μᾶλλον ἐκράτει τῶν ἐκφοβούντων. ἦν δὲ καὶ πρὸς
still more he-mastered those frightening(-him) was and also to
γέλωτα κομιδῇ δυσκίνητος, ἄχρι μειδιάματος σπανίως
laughter quite hard-to-move as-far-as a-smile rarely
τῷ προσώπῳ διαχεόμενος, καὶ πρὸς ὀργὴν οὐ ταχὺς οὐδὲ
in-the face relaxing and to anger not quick nor
ὀλισθηρός, ὀργισθεὶς δὲ δυσπαραίτητος. Ὡς οὖν εἰς
slippery having-been-angered but hard-to-appease when then to
τὸ μανθάνειν ἦκε, νωθρὸς ἦν ἀναλαβεῖν καὶ βραδύς,
the learning he-came sluggish he-was to-take-in and slow
ἀναλαβὼν δὲ κάτοχος καὶ μνημονικός. ὃ δὴ καὶ
having-taken-in but retentive and of-good-memory which indeed also
πέφυκεν ἄλλως, τοὺς μὲν εὐφυεῖς ἀναμνηστικοὺς μᾶλλον
is-natural generally the indeed quick-witted recollective rather
εἶναι, μνημονικοὺς δὲ τοὺς μετὰ πόνου καὶ πραγματείας
to-be retentive but those with toil and effort
παραδεχομένους· γίνεται γὰρ οἷον ἔγκαυμα τῆς ψυχῆς
receiving becomes for as-it-were a-brand on-the soul
τῶν μαθημάτων ἕκαστον. ἔοικε δὲ καὶ τὸ δύσπειστον
of-the lessons each it-seems and also the hard-to-persuade
τῷ Κάτωνι ποιεῖν ἐργωδεστέραν τὴν μάθησιν· πάσχειν
— for-Cato to-make more-laborious the learning to-be-affected
γάρ τι τὸ μανθάνειν ἀτεχνῶς ἔστι, καὶ τὸ πείθεσθαι
for something the learning simply is and the to-be-persuaded
ταχὺ τοῖς ἧττον ἀντέχειν δυναμένοις συμβέβηκε. διὸ
quickly to-those less to-resist able happens wherefore

πείθονται μᾶλλον νέοι γερόντων καὶ νοσοῦντες ὑγιαινόντων,
are-persuaded more young than-old and sick than-healthy
καὶ ὅλως ἐν οἷς τὸ ἀποροῦν ἀσθενέστατόν ἐστι, ῥᾷστον
and altogether in which the doubting weakest is easiest
τὸ προστιθέμενον. τῷ μέντοι παιδαγωγῷ τὸν Κάτωνα
the assenting to-the however tutor — Cato
πείθεσθαι μὲν λέγουσι καὶ ποιεῖν ἅπαν τὸ προσταττόμενον,
to-obey indeed they-say and to-do everything the commanded
ἑκάστου δὲ τὴν αἰτίαν ἀπαιτεῖν καὶ τὸ διὰ τί πυνθάνεσθαι.
of-each but the reason to-demand and the for what to-ask
καὶ γὰρ ἦν χαρίεις ὁ παιδαγωγὸς αὐτοῦ καὶ λόγον ἔχων
and for was refined the tutor his and reason having
τοῦ κονδύλου προχειρότερον, ὄνομα Σαρπηδών.
than-the fist readier by-name Sarpedon
Ἔτι δὲ παιδὸς τοῦ Κάτωνος ὄντος ἔπραττον οἱ σύμμαχοι 2
still and boy — of-Cato being were-working the allies
τῶν Ῥωμαίων ὅπως μεθέξουσι τῆς ἐν Ῥώμῃ πολιτείας·
of-the Romans that they-might-share the in Rome citizenship
καί τις Πομπαίδιος Σίλλων, ἀνὴρ πολεμικὸς καὶ μέγιστον
and a Pompaedius Silo a-man warlike and greatest
ἔχων ἀξίωμα, τοῦ δὲ Δρούσου φίλος, κατέλυσε παρ᾽ αὐτῷ
having rank — and of-Drusus friend stayed with him
πλείονας ἡμέρας, ἐν αἷς γεγονὼς τοῖς παιδίοις συνήθης,
several days in which having-become with-the children intimate
“Ἄγε,” εἶπεν, “ὅπως ὑπὲρ ἡμῶν δεήσεσθε τοῦ θείου
come he-said that for us you-will-beg the uncle
συναγωνίσασθαι περὶ τῆς πολιτείας.” ὁ μὲν οὖν Καιπίων
to-help(-us)-contend about the citizenship — indeed then Caepio
διαμειδιάσας ἐπένευσε, τοῦ δὲ Κάτωνος οὐδὲν ἀποκριναμένου
smiling nodded-assent — and of-Cato nothing having-answered
καὶ βλέποντος εἰς τοὺς ξένους ἀτενὲς καὶ βλοσυρόν, ὁ
and looking at the strangers fixedly and grimly —

Πομπαίδιος, "Σὺ δέ," εἶπεν, "ἡμῖν, ὦ νεανία, τί λέγεις;
Pompaedius you and he-said to-us O young-man what do-you-say
οὐχ οἷος εἶ τοῖς ξένοις συλλαμβάνεσθαι πρὸς τὸν θεῖον,
not inclined are-you the strangers to-help with the uncle
ὥσπερ ὁ ἀδελφός;" μὴ φθεγγομένου δὲ τοῦ Κάτωνος,
like the brother not speaking and — of-Cato
ἀλλὰ τῇ σιωπῇ καὶ τῷ προσώπῳ δοκοῦντος ἀπολέγεσθαι
but by-the silence and by-the face seeming to-refuse
τὴν δέησιν, ἀράμενος αὐτὸν ὁ Πομπαίδιος ὑπὲρ θυρίδος
the request having-lifted him — Pompaedius out-of the-window
ὡς ἀφήσων ὁμολογεῖν ἐκέλευεν ἢ ῥίψειν ἔφασκεν,
as going-to-drop(-him) to-agree he-bade(-him) or to-throw(-him) he-said
ἅμα τῇ τε φωνῇ τραχυτέρᾳ χρώμενος καὶ ταῖς
at-once with-the both voice harsher using and with-the
χερσὶν ἀπηρτημένον τὸ σῶμα πολλάκις ὑπὲρ τῆς θυρίδος
hands suspended the body often out-of the window
κραδαίνων. ἐπεὶ δὲ πολὺν χρόνον οὕτω διεκαρτέρησεν
shaking when and long time thus endured
ὁ Κάτων ἀνέκπληκτος καὶ ἀδεής, καταθέμενος αὐτὸν
— Cato unterrified and fearless having-set-down him
Πομπαίδιος ἡσυχῇ πρὸς τοὺς φίλους εἶπεν· "Οἷον εὐτύχημα
Pompaedius quietly to the friends said what good-fortune
τῆς Ἰταλίας ὅτι παῖς οὗτός ἐστιν· εἰ δὲ ἀνὴρ ἦν, μίαν
— for-Italy that a-boy this-one is if but a-man he-were one
οὐκ ἂν οἶμαι ψῆφον ἡμῖν ἐν τῷ δήμῳ γίνεσθαι."
not — I-think vote for-us in the people would-come
Πάλιν δὲ συγγενοῦς τινος ἐν γενεθλίοις καλέσαντος ἐπὶ
again and a-kinsman some on birthday having-invited to
δεῖπνον ἄλλους τε παῖδας καὶ τοὺς περὶ Κάτωνα, σχολὴν
dinner others both children and those around Cato leisure
ἄγοντες ἔν τινι μέρει τῆς οἰκίας ἔπαιζον αὐτοὶ καθ'
having in some part of-the house played they by

ἑαυτοὺς ἀναμεμιγμένοι νεώτεροι καὶ πρεσβύτεροι, τὸ δὲ
themselves mixed younger and older the and
παιζόμενον ἦν δίκαι καὶ κατηγορίαι καὶ ἀγωγαὶ τῶν
being-played was trials and accusations and leadings-off of-the
ἁλισκομένων. εἷς οὖν τῶν ἑαλωκότων παίδων εὐπρεπὴς
convicted one then of-the convicted boys handsome
τὴν ὄψιν ὑπὸ πρεσβυτέρου παιδὸς ἀχθεὶς εἴς τι
in-the face by an-older boy having-been-led into some
δωμάτιον καὶ εἱρχθεὶς ἐπεκαλεῖτο τὸν Κάτωνα. ταχὺ δὴ
little-room and shut-in called-on — Cato quickly indeed
τὸ γινόμενον συνεὶς ἦκεν ἐπὶ τὰς θύρας ὁ Κάτων,
the happening having-understood came to the doors — Cato
καὶ διωσάμενος τοὺς προεστῶτας καὶ διακωλύοντας
and having-pushed-through those standing-before(-it) and preventing(-him)
ἐξήγαγε τὸν παῖδα· καὶ μετ᾽ ὀργῆς ἔχων ἀπῆλθεν
led-out the boy and with anger having(-him) went-off
οἴκαδε, καὶ παῖδες ἕτεροι συνηκολούθησαν.
home and boys other followed-with(-him)
Οὕτω δ᾽ ἦν περιβόητος ὥστ᾽, ἐπειδὴ Σύλλας τὴν παιδικὴν 3
so and he-was famous that when Sulla the boys'
καὶ ἱερὰν ἱπποδρομίαν, ἣν καλοῦσι Τροίαν, ἐπὶ θέᾳ
and sacred horse-race which they-call Troy for spectacle
διδάσκων καὶ συναγαγὼν τοὺς εὐγενεῖς παῖδας ἀπέδειξεν
training and having-gathered the noble boys appointed
ἡγεμόνας δύο, τὸν μὲν ἕτερον οἱ παῖδες ἐδέξαντο διὰ τὴν
leaders two the indeed one the boys accepted because-of the
μητέρα (Μετέλλης γὰρ ἦν υἱός, τῆς Σύλλα γυναικός), τὸν
mother of-Metella for he-was son the of-Sulla wife the
δὲ ἕτερον, ἀδελφιδοῦν ὄντα Πομπηΐου, Σέξτον, οὐκ εἴων
and other nephew being of-Pompey Sextus not they-allowed
οὐδὲ ἐβούλοντο μελετᾶν οὐδὲ ἕπεσθαι, πυνθανομένου δὲ
nor wished to-practice nor to-follow inquiring and

τοῦ Σύλλα τίνα βούλοιντο, πάντες ἐβόησαν "Κάτωνα," καὶ
— *of-Sulla whom they-wanted all shouted Cato and*
ὅ γε Σέξτος αὐτὸς εἴξας παρῆκεν ὡς κρείττονι τὴν
— *at-least Sextus himself having-yielded gave-up as to-a-better the*
φιλοτιμίαν. Ἔτυχε δὲ καὶ φίλος ὢν ὁ Σύλλας πατρικὸς
honor happened and also friend being — Sulla paternal
αὐτοῖς, καί ποτε καὶ προσηγάγετο καὶ προσωμίλησεν,
to-them and at-times also he-drew(-them)-near and conversed-with(-them)
ὀλίγοις πάνυ νέμων τὴν τοιαύτην φιλοφροσύνην, διὰ
to-few very allotting the such friendliness because-of
βάρος καὶ ὄγκον ἧς εἶχεν ἀρχῆς καὶ δυνάμεως. μέγα
weight and pomp of-which he-had office and power much
δὴ ποιούμενος ὁ Σαρπηδὼν τοῦτο πρὸς τιμὴν ἅμα καὶ
indeed making — Sarpedon this for honor at-once and
ἀσφάλειαν, ἦγεν ἀσπασόμενον τὸν Κάτωνα συνεχῶς εἰς
safety he-took to-pay-respects — Cato constantly to
τὴν οἰκίαν τοῦ Σύλλα, μηδὲν τότε προσιδεῖν ἀσεβῶν
the house — of-Sulla nothing then to-look-at of-the-impious
χώρου διαφέρουσαν, ὑπὸ πλήθους τῶν ἀγομένων
from-a-place differing because-of number of-those being-led-off
καὶ στρεβλουμένων. ἦν μὲν οὖν ἔτος ἐκεῖνο τῷ Κάτωνι
and tortured was indeed then year that — for-Cato
τεσσαρεσκαιδέκατον· ἰδὼν δὲ κεφαλὰς ἐπιφανῶν ἀνδρῶν
fourteenth having-seen and heads of-distinguished men
λεγομένων ἐκκομιζομένας, καὶ κρύφα τοὺς παρόντας
said(-to-be) being-carried-out and secretly those present
ἐπιστένοντας, ἠρώτησε τὸν παιδαγωγὸν ὅ τι δὴ τοῦτον
groaning he-asked the tutor why ever indeed this
τὸν ἄνθρωπον οὐδεὶς ἀποκτίννυσιν. εἰπόντος δὲ ἐκείνου,
the man nobody kills having-said and he
"Φοβοῦνται γὰρ αὐτόν, ὦ παῖ, μᾶλλον, ἢ μισοῦσι," "Τί
they-fear for him O boy more than they-hate(-him) why

οὖν," εἶπεν, "οὐκ ἐμοὶ ξίφος ἔδωκας, ἵνα αὐτὸν ἀνελὼν
then he-said not to-me a-sword you-gave that him having-killed
ἀπήλλαξα δουλείας τὴν πατρίδα;" τοῦτον τὸν λόγον
I-might-have-freed from-slavery the fatherland this the speech
ἀκούσας ὁ Σαρπηδών, ἅμα δὲ καὶ τὸ βλέμμα καὶ τὸ
having-heard — Sarpedon at-once and also the look and the
πρόσωπον αὐτοῦ πιμπλάμενον ὀργῆς καὶ μένους κατιδών,
face his being-filled with-anger and fury having-observed
οὕτως ἔδεισεν ὥστε τὸ λοιπὸν ἤδη προσέχειν ἀκριβῶς
so feared so-that the rest already to-attend-to(-him) closely
καὶ παραφυλάττειν, μή τι τολμήσῃ παραβολώτερον.
and to-watch(-him) lest something he-dare more-rash
Ἔτι μὲν οὖν παιδάριον ὢν μικρόν, ἀπεκρίνατο τοῖς
still indeed then a-child being small he-answered to-those
ἐρωτῶσι τίνα φιλεῖ μάλιστα, τὸν ἀδελφόν· τίνα δεύτερον,
asking whom he-loves most the brother whom second
ὁμοίως τὸν ἀδελφόν, καὶ τρίτον, ἄχρι οὗ πολλάκις
likewise the brother and third until which often
λέγοντος ἀπεῖπεν ὁ ἐρωτῶν. γενόμενος δ' ἐν ἡλικίᾳ
saying-it gave-up the asker having-become and in manhood
μᾶλλον ἐβεβαίου τὴν πρὸς τὸν ἀδελφὸν εὔνοιαν. ἔτη γὰρ
more he-confirmed the toward the brother goodwill years for
εἴκοσι γεγονὼς χωρὶς Καιπίωνος οὐκ ἐδείπνησεν, οὐκ
twenty having-lived apart-from Caepio not he-dined not
ἀπεδήμησεν, εἰς ἀγορὰν οὐ προῆλθε. μύρον δ' ἐκείνου
he-went-abroad to forum not he-went-forth perfume and that-one
λαμβάνοντος αὐτὸς παρῃτεῖτο· καὶ τἆλλα τὰ περὶ τὴν
taking he declined and the-other-things the about the
δίαιταν ἦν ἀκριβὴς καὶ σύντονος. ὁ γοῦν Καιπίων
way-of-life he-was strict and severe — at-any-rate Caepio
ἐπὶ σωφροσύνῃ καὶ μετριότητι θαυμαζόμενος ὡμολόγει
for temperance and moderation admired agreed

τοιοῦτος εἶναι πρὸς τοὺς ἄλλους ἐξεταζόμενος, "Ἀλλ'
such to-be against the others being-measured but
ὅταν," ἔφη, "παρὰ τὸν Κάτωνος βίον παραβάλλω τὸν
whenever he-said beside the of-Cato life I-put the
ἐμόν, οὐδὲν ἐμαυτῷ φαίνομαι Σιππίου διαφέρειν," τῶν
mine nothing to-myself I-seem from-Sippius to-differ of-those
ἐπὶ τρυφῇ τινα καὶ μαλακίᾳ περιβοήτων ὀνομάσας.
for luxury some and softness notorious having-named

4 Ὁ δὲ Κάτων ἐπειδὴ τὴν ἱερωσύνην ἔλαβε τοῦ Ἀπόλλωνος,
— and Cato when the priesthood he-received — of-Apollo
μετοικήσας καὶ νειμάμενος μοῖραν τῶν πατρῴων
having-moved and having-taken-as-his-share a-portion of-the patrimony
ἑκατὸν εἴκοσι ταλάντων γενομένην, τὴν μὲν δίαιταν ἔτι
hundred twenty talents amounting the indeed way-of-life still
μᾶλλον συνέστειλεν, Ἀντίπατρον δὲ Τύριον τῶν ἀπὸ τῆς
more he-contracted Antipater and the-Tyrian of-the from the
στοᾶς φιλοσόφων προσεταιρισάμενος, τοῖς ἠθικοῖς μάλιστα
stoa philosophers having-made-a-companion to-the ethical especially
καὶ πολιτικοῖς ἐνεφύετο δόγμασι, περὶ πᾶσαν μὲν ἀρετὴν
and political he-clung doctrines for all indeed virtue
ὥσπερ ἐπιπνοίᾳ τινὶ κατάσχετος γεγονώς, διαφόρως δὲ
as-if by-inspiration some possessed having-become exceedingly but
τοῦ καλοῦ τὸ περὶ τὴν δικαιοσύνην ἀτενές, καὶ ἄκαμπτον
of-the good the about the justice intent and unbending
εἰς ἐπιείκειαν ἢ χάριν, ὑπερηγαπηκώς. ἤσκει δὲ καὶ
toward clemency or favor having-loved-beyond-measure he-practiced and also
τὸν ὀργανικὸν εἰς πλήθη λόγον, ἀξιῶν ὥσπερ ἐν πόλει
the instrumental for crowds speech thinking-fit as in a-city
μεγάλῃ τῇ πολιτικῇ φιλοσοφίᾳ καὶ μάχιμον εἶναί
great to-the political philosophy also a-fighting(-force) to-be
τι παρατρεφόμενον. οὐ μέντοι μεθ' ἑτέρων ἐποιεῖτο τὰς
some maintained-besides not however with others he-made the

μελέτας, οὐδ' ἠκροάσατο λέγοντος οὐδείς, ἀλλὰ καὶ πρός
exercises nor heard speaking anybody but even to
τινα τῶν ἑταίρων εἰπόντα, "Μέμφονταί σου, Κάτων, οἱ
one of-the companions having-said blame your Cato the
ἄνθρωποι τὴν σιωπήν," "Μόνον," ἔφη, "μὴ τὸν βίον.
men the silence only he-said not the life
ἄρξομαι δὲ λέγειν, ὅταν μὴ μέλλω λέγειν ἄξια σιωπῆς."
I-shall-begin and to-speak when not I-am-about to-say worthy of-silence

II · FIRST STEPS AND FIRST SERVICE

Cato defends the Porcian basilica in his first speech, hardens his body, drinks late with philosophers, and wears dark clothes to defy fashion. Scipio takes back Lepida from Cato, who marries Atilia. He volunteers against Spartacus, refuses Gellius' honors, and alone obeys the law against name-callers. As military tribune in Macedonia he jokes with Munatius about guarding him, trains his legion by reason as well as fear, and wins its love by sharing its hardships.

Ἡ δὲ καλουμένη Πορκία βασιλικὴ τιμητικὸν ἦν ἀνάθημα
the and called Porcian basilica a-censorial was dedication
τοῦ παλαιοῦ Κάτωνος. εἰωθότες οὖν ἐκεῖ χρηματίζειν οἱ
of-the old Cato being-accustomed then there to-do-business the
δήμαρχοι, καὶ κίονος τοῖς δίφροις ἐμποδὼν εἶναι δοκοῦντος,
tribunes and a-column to-the benches in-the-way to-be seeming
ἔγνωσαν ὑφελεῖν αὐτὸν ἢ μεταστῆσαι. τοῦτο Κάτωνα
they-resolved to-remove it or to-move(-it) this Cato
πρῶτον εἰς ἀγορὰν ἄκοντα προήγαγεν· ἀντέστη γὰρ
first into forum unwilling brought-forward be-opposed for
αὐτοῖς, καὶ πεῖραν ἅμα τοῦ λόγου καὶ τοῦ φρονήματος
them and a-proof at-once of-the eloquence and the spirit
δοὺς ἐθαυμάσθη. καὶ γὰρ ὁ λόγος νεαρὸν μὲν οὐδὲν
having-given was-admired and for the speech youthful indeed nothing

οὐδὲ κομψὸν εἶχεν, ἀλλ' ἦν ὄρθιος καὶ περιπληθὴς
nor elegant had but was straightforward and full
καὶ τραχύς. οὐ μὴν ἀλλὰ καὶ χάρις ἀγωγὸς ἀκοῆς
and rough not indeed but also a-charm captivating the-ear
ἐπέτρεχε τῇ τραχύτητι τῶν νοημάτων, καὶ τὸ ἦθος
ran-over the roughness of-the thoughts and the character
αὐτοῦ καταμιγνύμενον ἡδονήν τινα καὶ μειδίαμα τῷ
his being-mixed-in pleasure some and a-smile to-the
σεμνῷ παρεῖχεν οὐκ ἀπάνθρωπον. ἡ δὲ φωνὴ μεγέθει
gravity furnished not inhuman the and voice in-volume
μὲν ἀποχρῶσα καὶ διαρκὴς εἰς τοσοῦτον ἐξικέσθαι δῆμον,
indeed sufficient and enduring to so-great to-reach a-people
ἰσχὺν δὲ καὶ τόνον ἄρρηκτον εἶχε καὶ ἄτρυτον· ἡμέραν
strength and and vigor unbreakable had and untiring a-day
γὰρ ὅλην εἰπὼν πολλάκις οὐκ ἀπηγόρευσε.
for whole having-spoken often not he-gave-out
Τότε δ' οὖν κρατήσας τῆς δίκης πάλιν ἑαυτὸν εἰς τὴν
then and then having-won the case again himself into the
σιωπὴν καὶ τὴν ἄσκησιν συνέστειλε· καὶ διεπόνει τὸ
silence and the discipline withdrew and labored the
σῶμα γυμνασίοις ἐνεργοῖς, ἐθιζόμενος ἀνέχεσθαι καὶ
body with-exercises vigorous accustoming-himself to-endure both
καύματα καὶ νιφετὸν ἀκαλύπτῳ κεφαλῇ, καὶ βαδίζειν
heat and snow with-uncovered head and to-walk
ἐν ταῖς ὁδοῖς πᾶσαν ὥραν ἄτερ ὀχήματος. τῶν δὲ
on the roads every season without vehicle of-the and
φίλων οἱ συνεκδημοῦντες ἵπποις ἐχρῶντο, καὶ πολλάκις
friends those traveling-with(-him) horses used and often
ἑκάστῳ παρέβαλλεν ὁ Κάτων ἐν μέρει προσδιαλεγόμενος,
each came-alongside — Cato in turn conversing
περιπατῶν αὐτὸς ὀχουμένων. θαυμαστῇ δὲ καὶ περὶ τὰς
walking himself them-riding wonderful and also about the

νόσους ὑπομονῇ μετ᾽ ἐγκρατείας ἐχρῆτο· πυρέττων γὰρ
illnesses endurance with self-control he-used being-feverish for
μόνος ἐφ᾽ ἑαυτοῦ διημέρευε μηδένα προσιέμενος, ἄχρι οὗ
alone by himself he-spent-the-day nobody admitting until which
βέβαιον αἴσθοιτο ῥᾳστώνην καὶ μεταβολὴν τοῦ νοσήματος.
sure he-perceived relief and change of-the disease
Ἐν δὲ τοῖς δείπνοις ἐκληροῦτο περὶ τῶν μερίδων· εἰ δὲ 6
at and the dinners he-cast-lots for the portions if and
ἀπολάχοι, πρῶτον αἴρειν τῶν φίλων κελευόντων, ἔλεγε
he-lost first to-choose the friends bidding(-him) he-said
μὴ καλῶς ἔχειν, ἀκούσης τῆς Ἀφροδίτης. καὶ κατ᾽ ἀρχὰς
not right to-be unwilling — of-Aphrodite and at first
μὲν ἅπαξ ἐπιπιὼν τὸ δεῖπνον ἀνέλυε, προϊόντι δὲ τῷ
indeed once having-drunk-after the dinner he-broke-up advancing but the
χρόνῳ μάλιστα προσίετο τὸ πίνειν, ὥστε πολλάκις ἐν οἴνῳ
time most he-took-to the drinking so-that often in wine
διάγειν εἰς ὄρθρον. αἰτίαν δὲ ἔλεγον οἱ φίλοι τούτου
to-spend(-the-night) until dawn reason and gave the friends of-this
τὴν πολιτείαν καὶ τὰ δημόσια πράγματα, πρὸς οἷς ὅλας
the political-life and the public affairs to which whole
τὸν Κάτωνα τὰς ἡμέρας ὄντα, καὶ κωλυόμενον φιλολογεῖν,
— Cato the days being and prevented to-study
νύκτωρ καὶ παρὰ πότον συγγίνεσθαι τοῖς φιλοσόφοις. διὸ
by-night and over drink to-converse-with the philosophers wherefore
καὶ Μεμμίου τινὸς ἐν συλλόγῳ φήσαντος ὅλας τὸν Κάτωνα
also Memmius some in company having-said whole — Cato
μεθύσκεσθαι τὰς νύκτας, ὑπολαβὼν ὁ Κικέρων, "Ἐκεῖνο
to-get-drunk the nights having-taken-up — Cicero that
δὲ οὐ λέγεις," εἶπεν, "ὅτι καὶ τὰς ἡμέρας ὅλας κυβεύει;"
but not you-say he-said that also the days whole he-gambles

Καθόλου δὲ τοῖς τότε βίοις καὶ τοῖς ἐπιτηδεύμασιν ὁ
on-the-whole and to-the then lives and to-the practices —
Κάτων τὴν ἐναντίαν ὁδὸν οἰόμενος δεῖν βαδίζειν, ὡς
Cato the opposite road thinking it-necessary to-walk as
οὖσι φαύλοις καὶ μεγάλης δεομένοις μεταβολῆς, ἐπεὶ
being bad and great needing change since
πορφύραν ἑώρα τὴν κατακόρως ἐρυθρὰν καὶ ὀξεῖαν
purple he-saw the excessively red and sharp
ἀγαπωμένην, αὐτὸς ἐφόρει τὴν μέλαιναν. πολλάκις δ'
loved he wore the dark often and
ἀνυπόδητος καὶ ἀχίτων εἰς τὸ δημόσιον προῄει μετ'
unshod and without-tunic into the public he-went after
ἄριστον, οὐ δόξαν ἐκ ταύτης τῆς καινότητος θηρώμενος,
breakfast not glory from this the novelty hunting
ἀλλὰ ἐθίζων ἑαυτὸν ἐπὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι μόνοις,
but accustoming himself at the shameful to-be-ashamed only
τῶν δὲ ἄλλων ἀδόξων καταφρονεῖν. καὶ κληρονομίαν δὲ
of-the and other(-things) inglorious to-despise and an-inheritance and
αὐτῷ προσγενομένην ἀνεψιοῦ Κάτωνος ἑκατὸν ταλάντων
to-him having-accrued of-his-cousin Cato of-hundred talents
εἰς ἀργύριον συναγαγὼν παρεῖχεν ἄνευ τόκων χρῆσθαι τῷ
into money having-converted he-allowed without interest to-use to-the
δεομένῳ τῶν φίλων. ἔνιοι δὲ καὶ χωρία καὶ θεράποντας
needing of-the friends some and both lands and slaves
αὐτοῦ διδόντος καὶ βεβαιοῦντος ὑπέθεντο πρὸς τὸ δημόσιον.
his giving(-them) and confirming(-it) mortgaged to the public(-treasury)
7 Ἐπεὶ δὲ ὥραν ᾤετο πρὸς γάμον ἔχειν, οὐδεμιᾷ γυναικὶ
when and the-age he-thought for marriage to-have with-no woman
συνελήλυθώς, ἡρμόσατο Λεπίδαν, πρότερον μὲν
having-had-intercourse he-became-betrothed-to Lepida before indeed
ἐγγυηθεῖσαν Σκηπίωνι Μετέλλῳ, τότε δὲ ἀπειπαμένου
betrothed to-Scipio Metellus then but having-renounced(-her)

τοῦ Σκηπίωνος καὶ τῆς ἐγγύης λυθείσης σχολάζουσαν.
— of-Scipio and the betrothal having-been-dissolved being-free
οὐ μὴν ἀλλὰ πρὸ τοῦ γάμου μεταμεληθεὶς πάλιν ὁ
not indeed but before the marriage having-changed-his-mind again —
Σκηπίων καὶ πάντα ποιήσας ἔλαβε τὴν κόρην. ὁ δὲ
Scipio and everything having-done took the girl — and
Κάτων σφόδρα παροξυνθεὶς καὶ διακαεὶς ἐπεχείρησε μὲν
Cato greatly provoked and inflamed tried indeed
ἐπεξελθεῖν διὰ δίκης, ὡς δὲ οἱ φίλοι τοῦτο ἐκώλυσαν,
to-proceed through a-suit when but the friends this prevented
ὀργῇ καὶ νεότητι τρέψας ἑαυτὸν εἰς ἰάμβους πολλὰ
in-anger and youth having-turned himself to iambics much
τὸν Σκηπίωνα καθύβρισε, τῷ πικρῷ προσχρησάμενος τοῦ
— Scipio he-insulted the bitterness having-used-besides —
Ἀρχιλόχου, τὸ δὲ ἀκόλαστον ἀφεὶς καὶ παιδαριώδες.
of-Archilochus the but licentiousness having-left-aside and childishness
ἔγημε δὲ Ἀτιλίαν, Σερρανοῦ θυγατέρα, καὶ ταύτῃ πρῶτον
he-married and Atilia of-Serranus daughter and with-her first
συνῆλθεν, οὐ μόνῃ δέ, καθάπερ Λαίλιος, ὁ Σκηπίωνος
he-had-intercourse not with-her-alone but like Laelius the of-Scipio
ἑταῖρος· ἀλλ' εὐτυχέστερος ἐκεῖνος, ἐν πολλοῖς οἷς ἐβίωσε
companion but more-fortunate that-one in many which he-lived
χρόνοις μίαν ἣν ἔγημεν ἐξ ἀρχῆς γνοὺς γυναῖκα.
times one whom he-married from beginning having-known woman
Τοῦ δὲ δουλικοῦ πολέμου συνεστῶτος, ὃν Σπαρτάκειον 8
the and servile war having-arisen which Spartacan
ἐκάλουν, Γέλλιος μὲν ἐστρατήγει, Κάτων δὲ τῆς στρατείας
they-called Gellius indeed was-general Cato and in-the campaign
μετεῖχεν ἐθελοντής, διὰ τὸν ἀδελφόν· ἐχιλιάρχει
shared as-a-volunteer for-the-sake-of the brother was-military-tribune
γὰρ ὁ ἀδελφὸς αὐτοῦ Καιπίων. καὶ χρήσασθαι μὲν εἰς
for the brother his Caepio and to-use indeed to

ὅσον ἐβούλετο τῇ προθυμίᾳ καὶ ἀσκήσει τῆς ἀρετῆς
the-extent-that he-wished the zeal and practice of-the virtue
οὐχ ὑπῆρξεν αὐτῷ, διὰ τὸ μὴ καλῶς στρατηγεῖσθαι τὸν
not it-was-possible for-him because-of the not well being-generaled the
πόλεμον· ἄλλως δέ, παρὰ πολλὴν μαλακίαν καὶ τρυφὴν τῶν
war otherwise but amid much softness and luxury of-those
ἐκεῖ στρατευομένων ἐπιδεικνύμενος εὐταξίαν καὶ ἐγκράτειαν
there campaigning displaying discipline and self-control
καὶ τὸ θαρραλέον ἐν πᾶσι καὶ ξυνετόν, ἐδόκει μηθὲν
and the courage in all-things and intelligence he-seemed in-nothing
ἀποδεῖν τοῦ παλαιοῦ Κάτωνος. ὁ δὲ Γέλλιος ἀριστεῖα καὶ
to-fall-short of-the old Cato — and Gellius prizes and
τιμὰς αὐτῷ διαπρεπεῖς ἔγραψεν, ἃς ἐκεῖνος οὐκ ἔλαβεν
honors for-him conspicuous proposed which he not took
οὐδὲ προσήκατο, φήσας ἄξιον μηθὲν εἰργάσθαι τιμῶν. ἔκ
nor accepted having-said worthy nothing to-have-done of-honors from
τε δὴ τούτων ἀλλόκοτος ἐδόκει, καὶ νόμου γραφέντος
both indeed these-things strange he-seemed and a-law having-been-proposed
ὅπως τοῖς παραγγέλλουσιν εἰς ἀρχὴν ὀνοματολόγοι
that for-those canvassing for office name-callers
μὴ παρῶσι, χιλιαρχίαν μετιὼν μόνος ἐπείθετο τῷ
not be-present a-military-tribunate seeking alone he-obeyed the
νόμῳ· καὶ δι᾽ αὑτοῦ ποιησάμενος ἔργον ἀσπάζεσθαι καὶ
law and by himself having-made it-a-task to-greet and
προσαγορεύειν τοὺς ἐντυγχάνοντας, οὐδὲ αὐτοῖς ἀνεπαχθὴς
to-address those meeting(-him) not-even to-them inoffensive
ἦν τοῖς ἐπαινοῦσιν, ὅσον μᾶλλον ἐνόουν τὸ καλὸν
he-was those praising(-him) as-much more they-perceived the nobility
ὧν ἐπετήδευε, τὸ δυσμίμητον αὐτῶν βαρυνομένοις.
of-what he-practiced the inimitability of-them being-oppressed-by

Ἀποδειχθεὶς δὲ χιλίαρχος εἰς Μακεδονίαν ἐπέμπετο 9
having-been-appointed and military-tribune to Macedonia he-was-sent
πρὸς Ῥούβριον τὸν στρατηγόν. ἔνθα δὴ λέγεται τῆς
to Rubrius the praetor there indeed it-is-said the
γυναικὸς ἀχθομένης καὶ δακρυούσης ἕνα τῶν φίλων
wife being-grieved and weeping one of-the friends
τοῦ Κάτωνος Μουνάτιον εἰπεῖν· “Ὦ Ἀτιλία, θάρσει·
— of-Cato Munatius to-have-said O Atilia take-heart
τοῦτον ἐγώ σοι φυλάξω.” “Πάνυ μὲν οὖν,” φάναι
this-one I for-you will-guard very indeed then to-have-said
τὸν Κάτωνα, καὶ προελθόντων μιᾶς ἡμέρας ὁδόν, εὐθὺς
— Cato and having-gone-forward of-one day a-journey at-once
εἰπεῖν μετὰ τὸ δεῖπνον· “Ἄγε, ὅπως, ὦ Μουνάτιε, τῇ
to-have-said after the dinner come see-that O Munatius —
Ἀτιλίᾳ τὴν ὑπόσχεσιν ἐμπεδώσεις, μήτε ἡμέρας ἐμοῦ μήτε
to-Atilia the promise you-will-keep neither by-day from-me nor
νυκτὸς ἀφιστάμενος.” ἐκ δὲ τούτου δύο κλίνας εἰς ταὐτὸ
by-night departing from and this two couches into the-same
δωμάτιον ἐκέλευε τίθεσθαι, καὶ τὸν Μουνάτιον οὕτως ἀεὶ
room he-ordered to-be-placed and — Munatius thus always
καθεύδειν μετὰ παιδιᾶς φυλασσόμενον ὑπὸ τοῦ Κάτωνος.
to-sleep with jest guarded by — Cato
Εἵποντο δὲ αὐτῷ πεντεκαίδεκα μὲν οἰκέται, δύο δὲ
followed and him fifteen indeed servants two and
ἀπελεύθεροι, φίλοι δὲ τέσσαρες. ὧν ὀχουμένων ἵπποις
freedmen friends and four of-whom riding on-horses
αὐτὸς ἀεὶ περιπατῶν ἑκάστῳ παρέβαλλεν ἐν μέρει
he always walking each came-alongside in turn
προσδιαλεγόμενος. ἐπεὶ δὲ ἦκεν εἰς τὸ στρατόπεδον,
conversing when and he-came to the camp
πλειόνων ταγμάτων ὄντων, ἑνὸς ἄρχων ἀποδειχθεὶς ὑπὸ
more legions being of-one commander having-been-appointed by

τοῦ στρατηγοῦ, τῆς μὲν ἰδίας ἀρετῆς, μιᾶς οὔσης, μικρὸν
the praetor of-the indeed own virtue one being small
ἔργον ἡγεῖτο καὶ οὐκ ἀνύσιμον τὴν ἐπίδειξιν, αὑτῷ δὲ
task he-considered and not effective the display for-himself and
ποιῆσαι τοὺς ἀρχομένους ὁμοίους μάλιστα φιλοτιμούμενος
to-make the commanded like especially being-ambitious
οὐ τὸν φόβον ἀφεῖλε τῆς ἐξουσίας, ἀλλὰ προσέθηκε τὸν
not the fear he-removed of-the authority but he-added the
λόγον· ᾧ πείθων περὶ ἑκάστου καὶ διδάσκων, ἑπομένης
reason by-which persuading about each and teaching following
τιμῆς καὶ κολάσεως, χαλεπὸν ἦν εἰπεῖν πότερον εἰρηνικοὺς
honor and punishment hard it-was to-say whether peaceable
μᾶλλον ἢ πολεμικοὺς καὶ προθυμοτέρους ἢ δικαιοτέρους
rather or warlike and more-zealous or more-just
παρεσκεύασε τοὺς ἄνδρας· οὕτως ἐφαίνοντο φοβεροὶ μὲν
he-made the men so they-appeared formidable indeed
τοῖς πολεμίοις, ἥμεροι δὲ τοῖς συμμάχοις, ἄτολμοι δὲ πρὸς
to-the enemy gentle and to-the allies timid and toward
τὸ ἀδικεῖν, φιλότιμοι δὲ πρὸς τοὺς ἐπαίνους. οὗ δὲ ἥκιστα
the doing-wrong eager and for the praises which and least
Κάτων ἐπεμελήθη, τοῦτο πλεῖστον ὑπῆρχεν αὐτῷ, καὶ δόξα
Cato cared-for this most fell to-him both glory
καὶ χάρις καὶ ὑπερβάλλουσα τιμὴ καὶ φιλοφροσύνη παρὰ
and favor and surpassing honor and affection from
τῶν στρατιωτῶν. ἃ γὰρ ἑτέροις ἐπέταττεν ἑκουσίως
the soldiers what for to-others he-ordered willingly
διαπονῶν, καὶ στολὴν μὲν καὶ δίαιταν καὶ πορείαν ἐκείνοις
laboring-at and in-dress indeed and way-of-life and marching to-them
μᾶλλον ἢ τοῖς ἄρχουσιν ὁμοιούμενος, ἤθει δὲ καὶ
rather than to-the officers making-himself-like in-character but and
φρονήματι καὶ λόγῳ πάντας ὑπεραίρων τοὺς αὐτοκράτορας
spirit and speech all surpassing those imperators

καὶ στρατηγοὺς προσαγορευομένους, ἔλαθε διὰ
and generals called he-escaped-notice through
τούτων ἅμα τὴν πρὸς αὑτὸν εὔνοιαν ἐνεργασάμενος τοῖς
these-things at-once the toward himself goodwill having-produced in-the
ἀνδράσιν. ἀρετῆς γὰρ ἀληθινὸς οὐκ ἐγγίνεται ζῆλος ἢ
men of-virtue for true not arises emulation except
δι' ἄκρας τοῦ παραδιδόντος εὐνοίας καὶ τιμῆς· οἱ
through highest of-the(-one) imparting(-it) goodwill and honor those
δὲ ἄνευ τοῦ φιλεῖν ἐπαινοῦντες τοὺς ἀγαθοὺς αἰδοῦνται τὴν
and without the loving praising the good respect the
δόξαν αὐτῶν, οὐ θαυμάζουσι δὲ τὴν ἀρετὴν οὐδὲ μιμοῦνται.
reputation their not they-admire and the virtue nor imitate(-it)

III · ATHENODORUS AND THE JOURNEY THROUGH ASIA

On leave Cato fetches the Stoic Athenodorus from near Pergamum to his camp. Hurrying to his dying brother Caepio at Aenus, he arrives too late and mourns and buries him lavishly. Leaving his legion amid tears, he travels through Asia with frugal arrangements, rebukes the magistrates' inhospitality, and is mortified at Antioch when the welcome he took for his own proves to await Demetrius, once Pompey's servant. Pompey treats him with marked respect at Ephesus, and Curio teases him.

Πυθόμενος δὲ Ἀθηνόδωρον, τὸν ἐπικαλούμενον 10
having-learned and Athenodorus the(-one) surnamed
Κορδυλίωνα, μεγάλην ἕξιν ἐν τοῖς Στωϊκοῖς λόγοις
Cordylion great proficiency in the Stoic doctrines
ἔχοντα, διατρίβειν περὶ Πέργαμον, ἤδη γηραιὸν ὄντα καὶ
having to-be-living near Pergamum already old being and
πάσαις ἐρρωμενέστατα ταῖς ἡγεμονικαῖς καὶ βασιλικαῖς
all most-vigorously the of-rulers and royal

συνηθείαις καὶ φιλίαις διαμεμαχημένον, οὐδὲν ᾤετο
intimacies and friendships having-fought-off nothing he-thought
πέμπων καὶ γράφων περαίνειν πρὸς αὐτόν, ἀλλὰ ἔχων
sending and writing to-accomplish with him but having
παρὰ τοῦ νόμου δεδομένην ἀποδημίαν δυεῖν μηνῶν ἔπλευσεν
from the law granted leave-of-absence of-two months he-sailed
εἰς τὴν Ἀσίαν ἐπὶ τὸν ἄνδρα, πιστεύων τοῖς ἐν αὑτῷ
to — Asia to the man trusting the in himself
καλοῖς μὴ ἀτυχήσειν τῆς ἄγρας. συγγενόμενος δὲ καὶ
good-qualities not to-fail-in the quarry having-been-with(-him) and and
καταγωνισάμενος καὶ μεταστήσας ἐκ τῆς προαιρέσεως
having-overcome(-him) and having-changed(-him) from the principle
αὐτὸν ἦκεν ἄγων εἰς τὸ στρατόπεδον, περιχαρὴς καὶ
him he-came bringing into the camp overjoyed and
μεγαλοφρονῶν, ὥς τι κάλλιστον ἠρηκὼς καὶ
proud as something most-splendid having-captured and
λαμπρότερον ὧν Πομπήϊος τότε καὶ Λεύκολλος
more-brilliant than-the(-things)-which Pompey then and Lucullus
ἐθνῶν καὶ βασιλειῶν κατεστρέφοντο σὺν ὅπλοις περιϊόντες.
nations and kingdoms subdued with arms going-about
11 Ἔτι δὲ αὐτοῦ περὶ τὴν στρατείαν ὄντος ὁ ἀδελφὸς εἰς
still and him on the campaign being the brother to
τὴν Ἀσίαν βαδίζων ἐνόσησε περὶ Θρᾴκην ἐν Αἴνῳ. καὶ
— Asia going fell-ill near Thrace at Aenus and
γράμματα μὲν εὐθὺς ἦκε πρὸς τὸν Κάτωνα· χειμῶνος δὲ
letters indeed at-once came to — Cato winter and
πολλοῦ κατέχοντος τὴν θάλατταν καὶ νεὼς ἱκανῆς μεγέθει
great holding the sea and ship sufficient in-size
μὴ παρούσης, εἰς μικρὰν ὁλκάδα μόνον δύο φίλους καὶ
not being-at-hand into a-small merchantman only two friends and
τρεῖς οἰκέτας ἀναλαβὼν ἐκ Θεσσαλονίκης ἀνήχθη· καὶ παρ᾽
three servants having-taken from Thessalonica he-put-to-sea and by

οὐδὲν ἐλθὼν καταποντωθῆναι, τύχῃ τινὶ παραλόγῳ σωθεὶς
nothing having-come to-be-drowned by-luck some unexpected saved
ἄρτι τεθνηκότος τοῦ Καιπίωνος, ἐμπαθέστερον ἔδοξεν ἢ
just-now having-died — of-Caepio more-emotionally he-seemed than
φιλοσοφώτερον ἐνεγκεῖν τὴν συμφοράν, οὐ μόνον κλαυθμοῖς
more-philosophically to-have-borne the misfortune not only with-wailings
καὶ περιπτύξεσι τοῦ νεκροῦ καὶ βαρύτητι λύπης, ἀλλὰ καὶ
and embracings of-the corpse and heaviness of-grief but also
δαπάνῃ περὶ τὴν ταφὴν καὶ πραγματείαις θυμιαμάτων καὶ
with-expense about the burial and efforts of-incense and
ἱματίων πολυτελῶν συγκατακαέντων καὶ μνήματος ξεστοῦ
garments costly burned-with(-it) and a-monument polished
λίθων Θασίων ἀπὸ ταλάντων ὀκτὼ κατασκευασθέντος ἐν τῇ
of-stones Thasian at talents eight constructed in the
Αἰνίων ἀγορᾷ. ταῦτα γὰρ ἔνιοι ἐσυκοφάντουν πρὸς
of-the-Aenians forum these-things for some cavilled-at in-comparison-with
τὴν ἄλλην ἀτυφίαν τοῦ Κάτωνος, οὐ καθορῶντες ὅσον
the other simplicity — of-Cato not discerning how-much
ἐν τῷ πρὸς ἡδονὰς καὶ φόβους καὶ δεήσεις ἀναισχύντους
in the toward pleasures and fears and demands shameless
ἀγνάμπτῳ καὶ στερρῷ τοῦ ἀνδρὸς τὸ ἥμερον ἐνῆν καὶ
unbending and firm of-the man the gentleness there-was and
φιλόστοργον. εἰς δὲ ταῦτα καὶ πόλεις αὐτῷ καὶ δυνάσται
affection for and these-things also cities to-him and princes
πολλὰ κατὰ τιμὴν τοῦ τεθνεῶτος ἔπεμπον, ὧν ἐκεῖνος
many-things in honor of-the dead sent of-which he
χρήματα μὲν παρ᾽ οὐδενὸς ἐδέξατο, θυμιάματα δὲ καὶ
money indeed from nobody accepted incense and and
κόσμον ἐλάμβανε, τὴν τιμὴν ἀποδιδοὺς τοῖς πέμπουσι.
ornament he-took the price paying to-those sending
τῆς δὲ κληρονομίας εἰς αὐτόν τε καὶ θυγάτριον τοῦ
of-the and inheritance to himself both and little-daughter —

Καιπίωνος ἠκούσης, οὐθὲν ὧν ἀνάλωσε περὶ τὸν τάφον
of-Caepio having-come nothing of-what he-spent on the tomb
ἀπῄτησεν ἐν τῇ νεμήσει. καὶ ταῦτα πράξαντος αὐτοῦ
he-demanded-back in the division and these-things having-done him
καὶ πράττοντος, ἦν ὁ γράψας ὅτι κοσκίνῳ τὴν
and doing there-was the(-one) having-written that with-a-sieve the
τέφραν τοῦ νεκροῦ μετέβαλε καὶ διήθησε, χρυσίον ζητῶν
ashes of-the corpse he-shifted and strained seeking gold
κατακεκαυμένον. οὕτως οὐ τῷ ξίφει μόνον, ἀλλὰ καὶ τῷ
melted-down so not to-the sword only but also to-the
γραφείῳ τὸ ἀνυπεύθυνον καὶ τὸ ἀνυπόδικον ἐπίστευσεν.
pen the unaccountability and the immunity-from-trial he-entrusted
12 Ἐπεὶ δὲ τέλος εἶχεν ἡ στρατεία τῷ Κάτωνι, προεπέμφθη,
when and end had the campaign — for-Cato he-was-escorted
οὐκ εὐχαῖς, ὃ κοινόν ἐστιν, οὐδ' ἐπαίνοις, ἀλλὰ
not with-prayers which common is nor with-praises but
δάκρυσι καὶ περιβολαῖς ἀπλήστοις, ὑποτιθέντων τὰ ἱμάτια
with-tears and embraces insatiable laying-under the cloaks
τοῖς ποσὶν ᾗ βαδίζοι καὶ καταφιλούντων τὰς χεῖρας,
the feet where he-walked and kissing the hands
ἃ τῶν αὐτοκρατόρων ὀλίγοις μόλις ἐποίουν οἱ τότε
which of-the imperators to-few barely did the then
Ῥωμαῖοι. βουληθεὶς δὲ πρὸ τοῦ πολιτεία προσελθεῖν ἅμα
Romans having-wished and before the to-public-life to-come at-once
μὲν πλανηθῆναι καθ' ἱστορίαν τῆς Ἀσίας καὶ γενέσθαι
indeed to-wander for inquiry — of-Asia and to-become
θεατὴς ἠθῶν καὶ βίων καὶ δυνάμεως τῆς περὶ ἑκάστην
a-spectator of-characters and lives and power of-the in each
ἐπαρχίαν, ἅμα δὲ τῷ Γαλάτῃ Δηϊοτάρῳ διὰ ξενίαν
province at-once and to-the Galatian Deiotarus because-of guest-friendship
καὶ φιλίαν πατρῴαν δεομένῳ πρὸς αὐτὸν ἐλθεῖν μὴ
and friendship paternal asking to him to-come not

ἀχαριστῆσαι, τοῦτον τὸν τρόπον ἐποιεῖτο τὴν ἀποδημίαν.
to-be-ungracious this the manner he-made the journey
προὔπεμπεν ἅμ᾽ ἡμέρᾳ τὸν ἀρτοποιὸν καὶ τὸν μάγειρον
he-sent-ahead together-with day the baker and the cook
ὅπου καταλύσειν ἔμελλεν. οἱ δὲ πάνυ κοσμίως καὶ μεθ᾽
where to-lodge he-was-going they and very decorously and with
ἡσυχίας εἰσελθόντες ἂν εἰς τὴν πόλιν, εἰ μηδεὶς τύχοι
quiet having-entered — into the city if nobody happened
τῷ Κάτωνι φίλος ὢν αὐτόθι πατρῷος ἢ γνώριμος, ἐν
— to-Cato friend being there paternal or acquaintance in
πανδοκείῳ τὴν ὑποδοχὴν αὐτῷ παρεσκεύαζον, ἐνοχλοῦντες
an-inn the reception for-him prepared troubling
οὐδενί· πανδοκείου δὲ μὴ ὄντος, οὕτως πρὸς τοὺς ἄρχοντας
nobody an-inn but not being thus to the magistrates
τραπόμενοι ξενίαν ἐλάμβανον, ἀγαπῶντες τὴν δοθεῖσαν.
having-turned hospitality they-took being-content-with the given
πολλάκις δὲ ἀπιστούμενοι καὶ περιορώμενοι διὰ τὸ μὴ
often but being-disbelieved and disregarded because-of the not
θορύβῳ μηδὲ ἀπειλῇ ταῦτα πράσσειν πρὸς τοὺς ἄρχοντας,
with-noise nor with-threat these-things to-do toward the magistrates
ὑπὸ τοῦ Κάτωνος ἄπρακτοι κατελαμβάνοντο, καὶ μᾶλλον
by — Cato with-nothing-done they-were-found and more
αὐτὸς ὀφθεὶς ὠλιγωρεῖτο, καὶ παρεῖχεν ἐπὶ τῶν φορτίων
he being-seen was-slighted and gave on the baggage
σιωπῇ καθεζόμενος ὑπόνοιαν ἀνθρώπου ταπεινοῦ καὶ
in-silence sitting the-impression of-a-man humble and
περιδεοῦς. οὐ μὴν ἀλλὰ καὶ προσκαλούμενος αὐτοὺς εἰώθει
timid not indeed but also calling-to(-him) them he-used
λέγειν· “Ὦ μοχθηροί, μεταβάλεσθε ταύτης τῆς κακοξενίας.
to-say O wretches change-from this the inhospitality
οὐ πάντες ὑμῖν ἀφίξονται Κάτωνες. ἀμβλύνατε ταῖς
not all to-you will-come Catos blunt with-the

φιλοφροσύναις τὴν ἐξουσίαν τῶν δεομένων προφάσεως,
kindnesses the power of-those needing a-pretext
ἵνα βίᾳ λαμβάνωσιν, ὡς παρ᾽ ἑκόντων μὴ τυγχάνοντες.᾽᾽
so-that by-force they-take as from willing not getting(-it)
13 Ἐν δὲ Συρίᾳ καὶ γελοῖόν τι λέγεται παθεῖν.
in and Syria also laughable something is-said to-have-befallen(-him)
βαδίζων γὰρ εἰς Ἀντιόχειαν εἶδε περὶ τὰς πύλας ἔξω
walking for to Antioch he-saw near the gates outside
πλῆθος ἀνθρώπων ἑκατέρωθεν τῆς ὁδοῦ παρακεκριμένων,
a-multitude of-men on-either-side of-the road drawn-up
ἐν οἷς ἔφηβοι μὲν χωρὶς ἐν χλαμύσι καὶ παῖδες
among whom youths indeed apart in cloaks and boys
ἑτέρωθεν κοσμίως εἱστήκεσαν, ἐσθῆτας δὲ καθαρὰς ἔνιοι
on-the-other-side decorously stood clothes and clean some
καὶ στεφάνους εἶχον, ἱερεῖς θεῶν ὄντες ἢ ἄρχοντες. πάντων
and garlands had priests of-gods being or magistrates of-all
οὖν μᾶλλον οἰηθεὶς ὁ Κάτων αὐτῷ τινα πράττεσθαι
then rather having-thought — Cato for-him some was-being-arranged
τιμὴν καὶ δεξίωσιν ὑπὸ τῆς πόλεως, ὠργίζετο μὲν τοῖς
honor and welcome by the city he-grew-angry indeed with-those
προπεμφθεῖσι τῶν ἰδίων, ὡς μὴ κωλύσασιν, ἐκέλευσε δὲ
sent-ahead of-the own as not having-prevented(-it) he-bade and
καταβῆναι τοὺς φίλους, καὶ πεζῇ προῄει μετ᾽ αὐτῶν. ὡς
to-dismount the friends and on-foot went-forward with them when
δ᾽ ἐγγὺς ἦσαν, ὁ πάντα διακοσμῶν ἐκεῖνα καὶ τὸν
and near they-were the(-man) all arranging those-things and the
ὄχλον εἰς τάξιν καθιστάς, ἀνὴρ πρεσβύτερος ἤδη, ῥάβδον
crowd into order setting a-man elderly already a-wand
ἐν τῇ χειρὶ καὶ στέφανον κρατῶν, ἀπήντησε τῷ Κάτωνι
in the hand and a-wreath holding met — Cato
πρὸ τῶν ἄλλων, καὶ μηδὲ ἀσπασάμενος ἠρώτα ποῦ
before the others and not-even having-greeted(-him) asked where

Δημήτριον ἀπολελοίπασι καὶ πηνίκα παρέσται. Πομπηΐου
Demetrius they-have-left and when he-will-arrive of-Pompey
δὲ ἦν γεγονὼς ὁ Δημήτριος οἰκέτης· τότε δὲ πάντων,
and was having-been — Demetrius a-servant then and all
ὡς ἔπος εἰπεῖν, ἀνθρώπων εἰς Πομπήϊον ἀποβλεπόντων,
as a-word to-say men to Pompey looking
ἐθεραπεύετο παρ᾽ ἀξίαν, μέγα παρ᾽ αὐτῷ δυνάμενος. τοῖς
he-was-courted beyond his-worth greatly with him having-power to-the
μὲν οὖν φίλοις τοῦ Κάτωνος γέλως ἐνέπεσε τοσοῦτος ὥστε
indeed then friends — of-Cato laughter fell so-great so-that
ἀναλαβεῖν ἑαυτοὺς οὐκ ἐδύναντο διὰ τοῦ πλήθους ἅμα
to-recover themselves not they-could through the crowd at-once
βαδίζοντες, ὁ δὲ Κάτων τότε μὲν ἰσχυρῶς διατραπείς,
walking — and Cato then indeed greatly upset
“Ὢ τῆς κακοδαίμονος,” ἔφη, “πόλεως,” ἄλλο δὲ οὐδὲν
O the ill-starred he-said city other but nothing
ἐφθέγξατο, χρόνῳ δὲ ὕστερον εἰώθει γελᾶν καὶ αὐτὸς ἐπὶ
he-uttered in-time and later he-used to-laugh also himself at
τούτῳ, καὶ διηγούμενος καὶ μνημονεύων.
this both relating and recalling(-it)
Οὐ μὴν ἀλλὰ Πομπήϊος αὐτὸς ἐπέστρεψε τοὺς ἀνθρώπους 14
not indeed but Pompey himself turned the men
οὕτω πλημμελοῦντας εἰς τὸν Κάτωνα δι᾽ ἄγνοιαν. ὡς
thus erring toward — Cato through ignorance when
γὰρ εἰς Ἔφεσον ἐλθὼν ἐπορεύετο πρὸς αὐτὸν ἀσπασόμενος
for to Ephesus having-come he-went to him to-greet(-him)
πρεσβύτερον ὄντα, καὶ δόξῃ πολὺ προήκοντα, καὶ
older being and in-reputation far advanced and
δυνάμεων τότε μεγίστων ἡγούμενον, ἰδὼν ὁ Πομπήϊος
of-forces then greatest commanding having-seen(-him) — Pompey
οὐκ ἔμεινεν, οὐδὲ εἴασε καθεζομένῳ προσελθεῖν, ἀλλ᾽ ὥς
not waited nor allowed(-him) seated to-approach(-him) but as

τινι τῶν κρειττόνων ἀναθορὼν ἀπήντησε, καὶ τὴν δεξιὰν
to-one of-the superior having-leapt-up met(-him) and the right-hand
ἐνέβαλε. καὶ πολλὰ μὲν εὐθὺς ἐν τῷ φιλοφρονεῖσθαι καὶ
put(-in-his) and much indeed at-once in the showing-kindness and
ἀσπάζεσθαι παρόντα, πλείω δὲ ἔτι μεταστάντος ἐγκώμια
greeting him-present more and still him-having-gone-away praises
διῆλθεν αὐτοῦ τῆς ἀρετῆς, ὥστε πάντας ἐπιστρεφομένους
he-went-through of-his the virtue so-that all turning
καὶ προσέχοντας ἤδη τῷ Κάτωνι, θαυμάζειν ἐξ ὧν
and attending already — to-Cato to-admire(-him) for what
πρότερον κατεφρονεῖτο, καὶ πραότητα καὶ μεγαλοψυχίαν
before he-was-despised and mildness and magnanimity
ἀναθεωρεῖν. καὶ γὰρ ἡ Πομπηΐου σπουδὴ περὶ αὐτὸν
to-contemplate and for the of-Pompey zeal for him
οὐκ ἐλάνθανε θεραπεύοντος οὖσα μᾶλλον ἢ φιλοῦντος,
not escaped-notice of-one-courting being rather than of-one-loving
ἀλλ' ἔγνωσαν ὅτι θαυμάζει μὲν παρόντα, χαίρει δὲ
but they-knew that he-admires indeed him-present he-is-glad but
ἀπερχομένῳ. τοὺς γὰρ ἄλλους νέους, ὅσοι παρ' αὐτὸν
at-him-departing the for other young-men as-many-as to him
ἀφικνοῦντο, φιλοτιμούμενος κατεῖχε καὶ ποθῶν αὐτῷ
came being-ambitious he-detained and longing him
συνεῖναι, τοῦ δὲ Κάτωνος οὐδὲν ἐδεήθη τοιοῦτον, ἀλλ'
to-be-with — but of-Cato nothing he-asked such but
ὥσπερ οὐκ ἀνυπεύθυνος ἄρχων ἐκείνου παρόντος ἐξέπεμψεν
as-if not unaccountable ruling he present he-sent-away
ἄσμενος, μόνῳ σχεδὸν ἐκείνῳ τῶν εἰς Ῥώμην πλεόντων
gladly alone almost to-him of-those to Rome sailing
τὰ τέκνα καὶ τὴν γυναῖκα παρακαταθέμενος, ἄλλως αὐτῷ
the children and the wife having-entrusted otherwise to-him
προσήκοντα καὶ διὰ συγγένειαν.
related also by kinship

Ἐκ τούτου δόξα καὶ σπουδὴ καὶ ἅμιλλα περὶ αὐτὸν
from this reputation and zeal and rivalry about him
ἦν τῶν πόλεων καὶ δεῖπνα καὶ κλήσεις, ἐν οἷς τοὺς
was of-the cities and dinners and invitations at which the
φίλους ἐκέλευε προσέχειν αὐτῷ, μὴ λάθῃ βεβαιώσας τὸν
friends he-bade to-watch him lest unawares he-confirm the
Κουρίωνος λόγον. ὁ γὰρ Κουρίων ἀχθόμενος τῷ αὐστηρῷ
of-Curio saying — for Curio vexed at-the severity
τοῦ Κάτωνος, φίλου καὶ συνήθους ὄντος, ἠρώτησεν αὐτὸν
— of-Cato friend and intimate being asked him
εἰ πρόθυμός ἐστι μετὰ τὴν στρατείαν γενέσθαι τῆς
whether eager he-is after the campaign to-become —
Ἀσίας θεατής. τοῦ δὲ καὶ πάνυ φήσαντος, "Εὖ λέγεις,"
of-Asia a-spectator he and also very having-said(-so) well you-speak
εἶπεν ὁ Κουρίων, "ἡδίων γὰρ ἐπανήξεις ἐκεῖθεν καὶ
said — Curio more-agreeable for you-will-return from-there and
μᾶλλον ἥμερος," οὕτω πως καὶ τῷ ῥήματι χρησάμενος.
more gentle so somehow even the word using

IV · QUAESTOR OF THE TREASURY

Cato refuses Deiotarus' gifts and carries his brother's ashes home himself. He studies the treasury's laws before standing for quaestor, then humbles the clerks, dismisses one, and prosecutes another despite Catulus' pleading. He collects old debts, pays the state's creditors, and makes the men Sulla paid for killing the proscribed return their rewards, so they are tried for murder. The treasury grows more respected than the senate, and on his last day he erases a grant forced on Marcellus.

Δηϊόταρος δὲ ὁ Γαλάτης μετεπέμψατο μὲν τὸν Κάτωνα 15
Deiotarus and the Galatian sent-for indeed — Cato
πρεσβύτερος ὢν ἤδη παραθέσθαι τοὺς παῖδας αὐτῷ
older being already to-commend the children to-him

βουλόμενος καὶ τὸν οἶκον, ἐλθόντι δὲ προσφέρων δῶρα
wishing and the house to-him-having-come and offering gifts
παντοδαπὰ καὶ πειρῶν καὶ δεόμενος πάντα τρόπον οὕτω
of-every-kind and testing(-him) and begging in-every way so
παρώξυνεν ὥστε, δείλης ἐλθόντα καὶ νυκτερεύσαντα,
irritated(-him) so-that in-the-afternoon having-come and having-spent-the-night
τῇ ὑστεραίᾳ περὶ τρίτην ὥραν ἀπᾶραι. προελθὼν μέντοι
on-the next-day about third hour to-depart having-gone-forward however
μιᾶς ἡμέρας ὁδὸν εὗρεν ἐν Πεσσινοῦντι πλείονα τῶν ἐκεῖ
of-one day a-journey he-found at Pessinus more than-the there
δώρων αὖθις αὐτὸν ὑπομένοντα, καὶ γράμματα τοῦ Γαλάτου
gifts again him awaiting and letters of-the Galatian
δεομένου, λαβεῖν αὐτὸς εἰ μὴ πρόθυμός ἐστιν, ἀλλὰ τοὺς
begging(-him) to-take(-them) himself if not eager he-is but the
φίλους ἐᾶσαι, πάντως μὲν ἀξίους ὄντας εὖ παθεῖν δι'
friends to-allow(-to) altogether indeed worthy being well to-be-treated through
ἐκεῖνον, οὐκ ὄντων δὲ τῶν ἰδίων τοῦ Κάτωνος τοσούτων.
him not being and the own(-means) — of-Cato so-great
ἀλλ' οὐδὲ τούτοις ἐνέδωκεν ὁ Κάτων, καίπερ ἐνίους τῶν
but not-even to-these yielded — Cato although some of-the
φίλων μαλασσομένους καὶ ὑπομεμφομένους ὁρῶν, ἀλλὰ
friends softening and finding-fault seeing but
φήσας ὅτι πᾶσα δωροδοκία προφάσεως ἂν εὐπορήσειεν,
having-said that every bribery a-pretext — would-find-plenty-of
οἱ δὲ φίλοι μεθέξουσιν ὧν ἂν ἔχῃ καλῶς καὶ δικαίως
the and friends will-share-in what — he-may-have honorably and justly
κτησάμενος, ἀπέπεμψε τὰ δῶρα πρὸς τὸν Δηϊόταρον.
having-acquired he-sent-back the gifts to — Deiotarus
Ἐπεὶ δὲ μέλλοντος ἀπαίρειν εἰς τὸ Βρεντέσιον ᾤοντο
when and being-about-to to-set-sail for — Brundisium thought
δεῖν οἱ φίλοι τὰ λείψανα τοῦ Καιπίωνος εἰς ἕτερον
it-necessary the friends the remains — of-Caepio into another

θέσθαι πλοῖον, εἰπὼν ὅτι τῆς ψυχῆς μεθήσεται μᾶλλον
to-put boat having-said that the life he-would-let-go rather
ἢ τούτων, ἀνήχθη. καὶ μέντοι λέγεται κατὰ τύχην
than these he-put-to-sea and indeed it-is-said by chance
ἐπισφαλέστατα περᾶσαι, τῶν ἄλλων μετρίως κομιζομένων.
most-perilously to-have-crossed the others moderately faring
Ἐπανελθὼν δὲ εἰς Ῥώμην τὸν μὲν ἄλλον χρόνον κατ' 16
having-returned and to Rome the indeed other time at
οἶκον Ἀθηνοδώρῳ συνών, ἢ κατ' ἀγορὰν τοῖς φίλοις
home with-Athenodorus being or in forum the friends
παριστάμενος διετέλεσεν. ἐπιβάλλουσαν δὲ αὐτῷ τὴν
assisting he-spent falling and to-him the
ταμιευτικὴν ἀρχὴν οὐ πρότερον μετῆλθεν ἢ τούς τε
quaestorial office not before he-sought than the both
νόμους ἀναγνῶναι τοὺς ταμιευτικοὺς καὶ διαπυθέσθαι
laws to-read the quaestorial and to-learn
τῶν ἐμπείρων ἕκαστα καὶ τύπῳ τινὶ τῆς ἀρχῆς τὴν
from-the experienced each(-detail) and in-outline some of-the office the
δύναμιν περιλαβεῖν. ὅθεν εὐθὺς εἰς τὴν ἀρχὴν καταστὰς
power to-grasp whence at-once into the office having-entered
μεγάλην ἐποίησε μεταβολὴν τῶν περὶ τὸ ταμιεῖον
great he-made change of-the about the treasury
ὑπηρετῶν καὶ γραμματέων, οἳ διὰ χειρὸς ἀεὶ τὰ
attendants and clerks who through hand always the
δημόσια γράμματα καὶ τοὺς νόμους ἔχοντες, εἶτα νέους
public documents and the laws having then new
ἄρχοντας παραλαμβάνοντες δι' ἀπειρίαν καὶ ἄγνοιαν
magistrates taking-over through inexperience and ignorance
ἀτεχνῶς διδασκάλων ἑτέρων καὶ παιδαγωγῶν δεομένους,
simply of-teachers other and tutors needing
οὐχ ὑφίεντο τῆς ἐξουσίας ἐκείνοις, ἀλλὰ ἦσαν ἄρχοντες
not yielded the authority to-them but were magistrates

αὐτοί, μέχρι οὗ Κάτων ἐπιστὰς τοῖς πράγμασι
themselves until which Cato having-applied-himself to-the affairs
νεανικῶς, οὐκ ὄνομα καὶ τιμὴν ἔχων ἄρχοντος, ἀλλὰ καὶ
vigorously not name and honor having of-a-magistrate but also
νοῦν καὶ φρόνημα καὶ λόγον, ὑπηρέταις, ὅπερ ἦσαν,
mind and spirit and reason as-attendants which-indeed they-were
ἠξίου χρῆσθαι τοῖς γραμματεῦσι, τὰ μὲν ἐξελέγχων
thought-fit to-use the clerks in-part indeed convicting
κακουργοῦντας αὐτούς, τὰ δὲ ἁμαρτάνοντας ἀπειρίᾳ
doing-wrong them in-part and erring through-inexperience
διδάσκων. ὡς δὲ ἦσαν ἰταμοὶ καὶ τοὺς ἄλλους ἐθώπευον
teaching when and they-were bold and the others flattered
ὑποτρέχοντες, ἐκείνῳ δὲ ἐπολέμουν, τὸν μὲν πρῶτον
fawning him but they-fought the indeed first
αὐτῶν καταγνοὺς περὶ πίστιν ἐν κληρονομίᾳ γεγονέναι
of-them having-condemned in-respect-of trust in an-inheritance to-have-been
πονηρὸν ἀπήλασε τοῦ ταμιείου, δευτέρῳ δέ τινι
dishonest he-drove-from the treasury against-a-second and some
ῥᾳδιουργίας προὔθηκε κρίσιν. ᾧ Κάτλος Λουτάτιος ὁ
for-fraud he-set a-trial to-whom Catulus Lutatius the
τιμητὴς ἀνέβη βοηθήσων, ἀνὴρ μέγα τὸ τῆς ἀρχῆς ἔχων
censor came-up going-to-help a-man great the of-the office having
ἀξίωμα, τὸ δὲ τῆς ἀρετῆς ἔχων μέγιστον, ὡς πάντων
dignity the but of-the virtue having greatest as of-all
δικαιοσύνῃ καὶ σωφροσύνῃ Ῥωμαίων διαφέρων· ἦν δὲ
in-justice and temperance of-Romans excelling was and
καὶ τοῦ Κάτωνος ἐπαινέτης καὶ συνήθης διὰ τὸν βίον.
also — of-Cato a-praiser and intimate because-of the life
ὡς οὖν ἡττώμενος τοῖς δικαίοις ἐξῃτεῖτο φανερῶς τὸν
when then being-worsted on-the merits he-begged-off openly the
ἄνθρωπον, οὐκ εἴα ταῦτα ποιεῖν αὐτὸν ὁ Κάτων. ἔτι δὲ
man not allowed these-things to-do him — Cato still and

μᾶλλον προσλιπαροῦντος, "Αἰσχρόν," εἶπεν, "ὦ Κάτλε, σὲ
more pressing shameful he-said O Catulus you
τὸν τιμητὴν καὶ τοὺς ἡμετέρους βίους ὀφείλοντα δοκιμάζειν
the censor and the our lives owing to-scrutinize
ὑπὸ τῶν ἡμετέρων ὑπηρετῶν ἐκβάλλεσθαι." ταύτην τὴν
by the our attendants to-be-thrown-out this the
φωνὴν ἀφέντος τοῦ Κάτωνος, ὁ Κάτλος προσέβλεψε
word having-uttered — of-Cato — Catulus looked
μὲν αὐτὸν ὡς ἀμειψόμενος, εἶπε δὲ οὐδέν, ἀλλ' εἴτε ὑπ'
indeed at-him as going-to-reply said but nothing but whether from
ὀργῆς εἴτε ὑπ' αἰσχύνης ἀπῆλθε σιωπῇ διηπορημένος. οὐ
anger or from shame he-went-away in-silence perplexed not
μὴν ἥλω γε ὁ ἄνθρωπος, ἀλλ' ἐπεὶ μιᾷ ψήφῳ τὰς
indeed was-convicted at-least the man but since by-one vote the
ἀφιείσας ὑπερέβαλλον αἱ καθαιροῦσαι, καὶ Λόλλιος Μάρκος
acquitting exceeded the condemning and Lollius Marcus
εἷς, συνάρχων τοῦ Κάτωνος, ὑπὸ ἀσθενείας ἀπελέλειπτο
one colleague — of-Cato through illness was-absent
τῆς δίκης, πέμπει πρὸς τοῦτον ὁ Κάτλος δεόμενος
from-the trial sends to this-one — Catulus begging(-him)
βοηθῆσαι τῷ ἀνθρώπῳ· κἀκεῖνος ἐν φορείῳ κομισθεὶς
to-help the man and-he in a-litter carried
μετὰ τὴν δίκην ἔθετο τὴν ἀπολύουσαν. οὐ μὴν ἐχρήσατό
after the trial cast the acquitting(-vote) not indeed used
γε τῷ γραμματεῖ ὁ Κάτων, οὐδὲ τὸν μισθὸν ἀπέδωκεν,
at-least the clerk — Cato nor the wages paid
οὐδὲ ὅλως ἐνάριθμον τοῦ Λολλίου τὴν ψῆφον ἔσχεν.
nor at-all counted — of-Lollius the vote held
Οὕτω δὲ τοὺς γραμματεῖς ταπεινώσας καὶ ποιήσας 17
thus and the clerks having-humbled and having-made
ὑποχειρίους, καὶ τοῖς πράγμασιν ὡς αὐτὸς ἐβούλετο
subject and the affairs as he wished

χρώμενος, ὀλίγῳ χρόνῳ τὸ ταμιεῖον ἀπέδειξε τοῦ
managing in-little time the treasury he-showed than-the
βουλευτηρίου σεμνότερον, ὡς καὶ λέγειν καὶ φρονεῖν
senate-house more-venerable so-that both to-say and to-think
ἅπαντας ὅτι Κάτων ὑπατείας ἀξίωμα τῇ ταμιείᾳ
all that Cato of-a-consulship the-dignity on-the quaestorship
περιέθηκε. πρῶτον μὲν γὰρ εὑρὼν χρέα παλαιὰ τῷ
had-conferred first indeed for having-found debts old to-the
δημοσίῳ πολλοὺς ὀφείλοντας καὶ πολλοῖς τὸ δημόσιον,
public(-treasury) many owing and to-many the public(-treasury)
ἅμα τὴν πόλιν ἔπαυσεν ἀδικουμένην καὶ ἀδικοῦσαν, τοὺς
at-once the city he-stopped being-wronged and doing-wrong the
μὲν εὐτόνως καὶ ἀπαραιτήτως ἀπαιτῶν, τοῖς δὲ ταχέως
ones vigorously and inexorably dunning to-the others quickly
ἀποδιδοὺς καὶ προθύμως, ὥστε τὸν δῆμον αἰδεῖσθαι τοὺς
paying and readily so-that the people to-respect the
μὲν οἰομένους ἀποστερήσειν ἐκτίνοντας ὁρῶντα, τοὺς δὲ
ones thinking to-defraud paying seeing the others
ἃ μὴ προσεδόκων ἀπολαμβάνοντας. ἔπειτα γράμματα
what not they-expected receiving then documents
πολλῶν οὐ προσηκόντως ἀναφερόντων, καὶ δόγματα
many not properly bringing-in and decrees
ψευδῆ παραδέχεσθαι χάριτι καὶ δεήσει τῶν προτέρων
false to-accept as-a-favor and at-the-request of-the predecessors
εἰωθότων, οὐδὲν αὐτὸν ἔλαθε γινόμενον τοιοῦτον, ἀλλ' ὑπὲρ
being-accustomed nothing him escaped happening such but about
ἑνός ποτε δόγματος ἐνδοιάσας εἰ κύριον γέγονε, πολλῶν
one once decree having-doubted whether valid it-had-been many
μαρτυρούντων οὐκ ἐπίστευσεν, οὐδὲ κατέταξε πρότερον ἢ
testifying not he-believed nor entered(-it) before than
τοὺς ὑπάτους ἐπομόσαι παραγενομένους. ὄντων δὲ πολλῶν
the consuls to-swear having-come being and many

οἷς Σύλλας ἐκεῖνος ἀποκτείνασιν ἄνδρας ἐκ προγραφῆς
to-whom Sulla that having-killed men by proscription
γέρας ἔδωκεν ἀνὰ μυρίας δισχιλίας δραχμάς, ἅπαντες
a-reward had-given at ten-thousand two-thousand drachmas all
μὲν αὐτοὺς ὡς ἐναγεῖς καὶ μιαροὺς ἐμίσουν, ἀμύνασθαι δὲ
indeed them as accursed and polluted hated to-punish(-them) but
οὐδεὶς ἐτόλμα, Κάτων δὲ προσκαλούμενος ἕκαστον ἔχοντα
nobody dared Cato but summoning each having
δημόσιον ἀργύριον ἀδίκως ἐξέπραττεν, ἅμα θυμῷ καὶ
public money unjustly exacted(-it) at-once with-passion and
λόγῳ τὸ τῆς πράξεως ἀνόσιον καὶ παράνομον ἐξονειδίζων.
with-reason the of-the deed impious and illegal reproaching
οἱ δὲ τοῦτο παθόντες εὐθὺς ἦσαν ἔνοχοι φόνῳ, καὶ τρόπον
those and this having-suffered at-once were liable for-murder and in-a-way
τινὰ προηλωκότες ἀπήγοντο πρὸς τοὺς δικαστὰς καὶ δίκας
some convicted-beforehand were-led to the judges and penalties
ἔτινον, ἡδομένων πάντων καὶ νομιζόντων συνεξαλείφεσθαι
paid being-pleased all and thinking to-be-wiped-out-together
τὴν τότε τυραννίδα καὶ Σύλλαν αὐτὸν ἐφορᾶν κολαζόμενον.
the then tyranny and Sulla himself to-see punished
Ἤιρει δὲ τοὺς πολλοὺς καὶ τὸ ἐνδελεχὲς αὐτοῦ τῆς 18
won and the many also the assiduity his of-the
ἐπιμελείας καὶ ἄτρυτον. οὔτε γὰρ πρότερός τις ἀνέβη
diligence and tirelessness neither for earlier anyone went-up
τῶν συναρχόντων εἰς τὸ ταμιεῖον Κάτωνος οὔτε ὕστερος
of-the colleagues to the treasury than-Cato nor later
ἀπῆλθεν. ἐκκλησίαν δὲ καὶ βουλὴν οὐδεμίαν παρῆκε,
went-away an-assembly and and senate none he-missed
δεδιὼς καὶ παραφυλάττων τοὺς ἑτοίμως καὶ πρὸς χάριν
fearing and watching those readily and for favor
ὀφλημάτων καὶ τελῶν ἀνέσεις ἢ δόσεις οἷς ἔτυχεν
of-debts and taxes remissions or grants to-whom it-happened

ἐπιψηφιζομένους. ἐπιδεικνύμενος δὲ τὸ ταμιεῖον ἄβατόν τε
voting showing and the treasury inaccessible both
καὶ καθαρὸν συκοφαντῶν, πλῆρες δὲ χρημάτων, ἐδίδασκεν
and clean of-informers full but of-money he-taught
ὅτι τῇ πόλει πλουτεῖν ἔξεστι μὴ ἀδικούσῃ. κατ' ἀρχὰς
that for-the city to-be-rich it-is-possible not doing-wrong at first
δὲ τῶν συναρχόντων ἐνίοις ἐπαχθὴς καὶ χαλεπὸς φανεὶς
and of-the colleagues to-some odious and harsh having-seemed
ὕστερον ἠγαπᾶτο, ταῖς ἐκ τοῦ μὴ χαρίζεσθαι τὰ δημόσια
later he-was-loved to-the from the not giving-away the public(-funds)
μηδὲ κρίνειν κακῶς ἀπεχθείαις ὑποτιθεὶς ἑαυτὸν ἀντὶ
nor judging wrongly hatreds exposing himself on-behalf-of
πάντων, καὶ παρέχων ἀπολογεῖσθαι πρὸς τοὺς δεομένους καὶ
all and allowing to-excuse-themselves to those asking and
βιαζομένους ἐκείνους, ὡς ἀμήχανόν ἐστιν, ἄκοντος Κάτωνος.
pressing them that impossible it-is unwilling Cato
Τῶν δὲ ἡμερῶν τῇ τελευταίᾳ σχεδὸν ὑπὸ πάντων τῶν
of-the and days on-the last almost by all the
πολιτῶν προπεμφθεὶς εἰς οἶκον, ἤκουσεν ὅτι Μαρκέλλῳ
citizens escorted to home he-heard that Marcellus
πολλοὶ συνήθεις καὶ δυνατοὶ προσπεσόντες ἐν τῷ ταμείῳ
many intimates and powerful having-fallen-on(-him) in the treasury
καὶ περιέχοντες ἐκβιάζονται γράψαι τινὰ δόσιν χρημάτων
and surrounding(-him) were-forcing to-write-down some grant of-money
ὀφειλομένων. ἦν δὲ ὁ Μάρκελλος ἐκ παίδων φίλος τῷ
owed was and — Marcellus from boyhood friend —
Κάτωνι, καὶ σὺν ἐκείνῳ βέλτιστος ἄρχων, αὐτὸς δὲ καθ'
to-Cato and with him best magistrate he but by
αὑτὸν ἀγώγιμος ὑπ' αἰδοῦς τοῖς δεομένοις, καὶ κατάντης
himself easily-led from diffidence by-those asking and inclined
πρὸς πᾶσαν χάριν. εὐθὺς οὖν ὁ Κάτων ἐπιστρέψας καὶ
to every favor at-once then — Cato having-turned-back and

τὸν Μάρκελλον εὑρὼν ἐκβεβιασμένον γράψαι τὴν δόσιν,
— *Marcellus having-found forced to-write-down the grant*
ᾔτησε τὰς δέλτους καὶ ἀπήλειψεν, αὐτοῦ παρεστῶτος σιωπῇ·
asked-for the tablets and erased(-it) him standing-by in-silence
καὶ τοῦτο πράξας κατήγαγεν αὐτὸν ἐκ τοῦ ταμιείου καὶ
and this having-done he-brought-down him from the treasury and
κατέστησεν εἰς οἶκον, οὔτε τότε μεμψάμενον οὔτε ὕστερον,
set(-him) at home neither then having-complained nor later
ἀλλ' ἐμμείναντα τῇ συνηθείᾳ καὶ φιλίᾳ μέχρι παντός.
but having-remained in-the intimacy and friendship to the-end
Οὐ μὴν οὐδὲ ἀπαλλαγεὶς τῆς ταμιείας ἀφῆκε τῆς
not indeed not-even released from-the quaestorship he-left of-the
φρουρᾶς ἔρημον τὸ ταμιεῖον, ἀλλ' οἰκέται μὲν αὐτοῦ καθ'
guard empty the treasury but servants indeed his by
ἡμέραν ἀπογραφόμενοι τὰς διοικήσεις παρῆσαν, αὐτὸς δὲ
day copying the transactions were-present he and
βιβλία λόγους περιέχοντα δημοσίων οἰκονομιῶν ἀπὸ τῶν
books accounts containing of-public administrations from the
Σύλλα χρόνων εἰς τὴν ἑαυτοῦ ταμιείαν ὠνησάμενος πέντε
of-Sulla times to the his-own quaestorship having-bought for-five
ταλάντων ἀεὶ διὰ χειρὸς εἶχεν.
talents always in hand had

V · TRIBUNE AGAINST METELLUS

Cato attends every senate meeting and drives Clodius out of Rome. On hearing that Metellus Nepos, Pompey's man, seeks the tribunate, he turns back from Lucania and stands himself. Elected, he threatens to prosecute every briber, sparing only his brother-in-law Silanus, and prosecutes the consul-elect Murena, who is acquitted and becomes his friend. In the Catiline debate he answers Caesar's plea for mercy, and his speech, taken down in shorthand, carries the vote for death.

19 Εἰς δὲ σύγκλητον εἰσήει τε πρῶτος καὶ τελευταῖος
into and senate he-entered both first and last
ἀπηλλάττετο· πολλάκις δὲ τῶν ἄλλων σχολῇ συναγομένων
departed often and the others slowly assembling
καθεζόμενος ἀνεγίνωσκεν ἡσυχῇ, τὸ ἱμάτιον τοῦ
sitting he-read quietly the toga before-the
βιβλίου προϊσχόμενος. ἀπεδήμησε δὲ οὐδέποτε βουλῆς
book holding he-went-abroad and never the-senate
γενομένης. ἐπεὶ δὲ ὕστερον οἱ περὶ Πομπήϊον
having-been(-convened) when and later those around Pompey
ἑώρων αὐτὸν ἐν οἷς ἐσπούδαζον ἀδίκως ἀμετάπειστον καὶ
saw him in what they-pursued unjustly unpersuadable and
δυσεκβίαστον ἀεί, διεμηχανῶντο φιλικαῖς τισι συνηγορίαις
hard-to-force always they-contrived with-friendly some advocacies
ἢ διαίταις ἢ πραγματείαις ἔξω περισπᾶν. συνεὶς
or arbitrations or business outside to-draw(-him)-away having-perceived
οὖν ταχὺ τὴν ἐπιβουλὴν ἀπεῖπε πᾶσι καὶ παρετάξατο
then quickly the plot he-refused all and arranged
βουλῆς ἀγομένης μηδὲν ἄλλο πράττειν. οὔτε γὰρ δόξης
the-senate being-held nothing else to-do not for of-glory
χάριν οὔτε πλεονεξίας οὔτε αὐτομάτως καὶ κατὰ
for-the-sake-of nor of-gain nor of-his-own-accord and by
τύχην, ὥσπερ ἕτεροί τινες, ἐμπεσὼν εἰς τὸ πράττειν
chance like others some having-fallen into the doing
τὰ τῆς πόλεως, ἀλλ' ὡς ἴδιον ἔργον ἀνδρὸς ἀγαθοῦ
the(-business) of-the city but as proper work of-a-man good
τὴν πολιτείαν ἑλόμενος, μᾶλλον ᾤετο δεῖν προσέχειν
the public-life having-chosen more he-thought it-necessary to-attend-to
τοῖς κοινοῖς ἢ τῷ κηρίῳ τὴν μέλιτταν, ὅς γε
the common(-affairs) than to-the honeycomb the bee who at-least
καὶ τὰ τῶν ἐπαρχιῶν πράγματα καὶ δόγματα καὶ κρίσεις
also the of-the provinces affairs and decrees and judgments

καὶ πράξεις τὰς μεγίστας ἔργον πεποίητο διὰ τῶν
and actions the greatest a-task had-made through the
ἑκασταχόθι ξένων καὶ φίλων πέμπεσθαι πρὸς αὐτόν.
everywhere guest-friends and friends to-be-sent to him
Ἐνστὰς δέ ποτε Κλωδίῳ τῷ δημαγωγῷ κινοῦντι καὶ
having-opposed and once Clodius the demagogue moving and
ταράττοντι μεγάλων ἀρχὰς νεωτερισμῶν καὶ διαβάλλοντι
stirring-up of-great beginnings of-revolutions and slandering
πρὸς τὸν δῆμον ἱερεῖς καὶ ἱερείας, ἐν οἷς καὶ Φαβία
to the people priests and priestesses among whom also Fabia
Τερεντίας ἀδελφή, τῆς Κικέρωνος γυναικός, ἐκινδύνευσε, τὸν
of-Terentia sister the of-Cicero wife was-in-danger —
μὲν Κλώδιον αἰσχύνῃ περιβαλὼν ἠνάγκασεν ὑπεκστῆναι
indeed Clodius with-shame having-covered he-compelled to-withdraw-from
τῆς πόλεως, τοῦ δὲ Κικέρωνος εὐχαριστοῦντος, τῇ πόλει
the city — and of-Cicero thanking(-him) to-the city
δεῖν ἔχειν ἔφη χάριν αὐτόν, ὡς ἐκείνης ἕνεκα πάντα
it-necessary to-feel he-said gratitude him as for-its sake everything
ποιῶν καὶ πολιτευόμενος. ἐκ τούτου μεγάλη δόξα περὶ
doing and engaging-in-politics from this great reputation about
αὐτὸν ἦν, ὥστε ῥήτορα μέν, δίκῃ τινὶ μαρτυρίας μιᾶς
him was so-that an-orator indeed in-a-case some of-testimony single
φερομένης, εἰπεῖν πρὸς τοὺς δικαστὰς ὡς ἑνὶ μαρτυροῦντι
being-brought to-have-said to the jurors that to-one testifying
προσέχειν, οὐδὲ Κάτωνι, καλῶς ἔχει, πολλοὺς δὲ ἤδη
to-attend not-even to-Cato right is many and already
περὶ τῶν ἀπίστων καὶ παραδόξων, ὥσπερ ἐν παροιμίᾳ
about the incredible and paradoxical as in a-proverb
τινί, λέγειν ὅτι τοῦτο μὲν οὐδὲ Κάτωνος λέγοντος
some to-say that this indeed not-even Cato saying
πιθανόν ἐστι. μοχθηροῦ δὲ ἀνθρώπου καὶ πολυτελοῦς λόγον
credible is of-a-wretched and man and extravagant a-speech

ἐν συγκλήτῳ διαθεμένου πρὸς εὐτέλειαν καὶ σωφρονισμὸν
in senate having-delivered for frugality and moderation
ἐπαναστὰς Ἀμναῖος, "Ὦ ἄνθρωπε," εἶπε, "τίς ἀνέξεταί
having-risen Amnaeus O man said who will-endure
σου δειπνοῦντος μὲν ὡς Λευκόλλου, οἰκοδομοῦντος δὲ ὡς
you dining indeed like Lucullus building and like
Κράσσου, δημηγοροῦντος δὲ ἡμῖν ὡς Κάτωνος;" καὶ τῶν
Crassus haranguing and us like Cato and of-the
ἄλλων δὲ τοὺς φαύλους καὶ ἀκολάστους, τοῖς λόγοις δὲ
others and the base and licentious in-the speeches but
σεμνοὺς καὶ αὐστηροὺς χλευάζοντες ἐκάλουν Κάτωνας.
grave and austere mocking they-called Catos
Πολλῶν δὲ αὐτὸν ἐπὶ δημαρχίαν καλούντων οὐκ ᾤετο
many and him to the-tribunate calling not he-thought
καλῶς ἔχειν μεγάλης ἐξουσίας καὶ ἀρχῆς, ὥσπερ
right to-be of-great authority and office like
ἰσχυροῦ φαρμάκου, δύναμιν ἐν πράγμασιν οὐκ ἀναγκαίοις
of-a-strong drug the-force in affairs not necessary
ἐξαναλῶσαι. καὶ ἅμα, σχολῆς οὔσης τῶν δημοσίων,
to-use-up and at-once leisure being from-the public(-affairs)
παραλαβὼν βιβλία καὶ φιλοσόφους ἐβάδιζεν εἰς Λευκανίαν,
having-taken books and philosophers he-went to Lucania
ἀγροὺς αὐτόθι κεκτημένος ἔχοντας οὐκ ἀνελευθέρους
lands there having-acquired having not illiberal
διατριβάς· εἶτα καθ' ὁδὸν πολλοῖς τισιν ὑποζυγίοις καὶ
pastimes then on the-road many some beasts-of-burden and
σκεύεσι καὶ ἀκολούθοις ἀπαντήσας καὶ πυθόμενος Νέπωτα
baggage and attendants having-met and having-learned Nepos
Μέτελλον εἰς Ῥώμην ἐπανέρχεσθαι δημαρχίαν μετιέναι
Metellus to Rome to-be-returning the-tribunate to-seek
παρεσκευασμένον, ἐπέστη σιωπῇ, καὶ διαλιπὼν μικρὸν
prepared he-stopped in-silence and having-paused a-little

ἐκέλευσεν ἀναστρέφειν ὀπίσω τοὺς ἑαυτοῦ. τῶν δὲ φίλων
he-ordered to-turn back the his-own the and friends
θαυμασάντων, "Οὐκ ἴστε," εἶπεν, "ὅτι καὶ καθ' αὑτὸν
having-wondered not you-know he-said that even by himself
ὑπὸ ἐμπληξίας φοβερός ἐστι Μέτελλος, καὶ νῦν ἐκ τῆς
from rashness formidable is Metellus and now from the
Πομπηΐου γνώμης ἀφιγμένος εἰς τὴν πολιτείαν ἐμπεσεῖται
of-Pompey design having-come into the state he-will-fall
δίκην σκηπτοῦ πάντα πράγματα ταράττων; οὐκ οὖν σχολῆς
like a-thunderbolt all affairs confounding not then of-leisure
οὐδὲ ἀποδημίας καιρός, ἀλλὰ δεῖ κρατῆσαι τοῦ ἀνδρός,
nor of-going-abroad the-time but it-is-necessary to-master the man
ἢ καλῶς ἀποθανεῖν ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιζόμενον."
or nobly to-die for the freedom fighting
ὅμως δὲ τῶν φίλων παραινεσάντων ἀφίκετο πρῶτον εἰς
nevertheless and the friends having-advised he-went first to
τὰ χωρία καὶ διέτριψεν οὐ πολὺν χρόνον, εἶτα ἐπανῆκεν εἰς
the estates and stayed not long time then returned to
πόλιν. ἑσπέρας δὲ ἐλθὼν εὐθὺς ἕωθεν εἰς ἀγορὰν κατέβαινε
the-city in-evening and having-come at-once at-dawn into forum went-down
δημαρχίαν μετιών, ὡς ἀντιταξόμενος πρὸς τὸν Μέτελλον. τὸ
the-tribunate seeking as going-to-oppose against — Metellus the
γὰρ ἰσχυρὸν ἡ ἀρχὴ πρὸς τὸ κωλύειν ἔχει μᾶλλον ἢ πρὸς
for strength the office for the preventing has more than for
τὸ πράττειν· κἂν πάντες οἱ λοιποὶ παρ' ἕνα ψηφίσωνται,
the acting even-if all the rest except one vote
τοῦ μὴ θέλοντος μηδὲ ἐῶντος τὸ κράτος ἐστί.
of-the(-one) not willing nor allowing the power is
Τὸ μὲν οὖν πρῶτον ὀλίγοι περὶ τὸν Κάτωνα τῶν φίλων 21
the indeed then first few around — Cato of-the friends
ἦσαν· φανερᾶς δὲ τῆς γνώμης αὐτοῦ γενομένης, ὀλίγου
were evident and the intention his having-become in-little

χρόνου πάντες οἱ χρηστοὶ καὶ γνώριμοι συνέτρεχον καὶ
time all the good and notable ran-together and
παρεκάλουν καὶ παρεθάρρυνον αὐτόν, ὡς οὐ λαμβάνοντα
urged and encouraged him as not receiving
χάριν, ἀλλὰ τὴν μεγίστην διδόντα τῇ πατρίδι καὶ τοῖς
a-favor but the greatest giving to-the fatherland and to-the
ἐπιεικεστάτοις τῶν πολιτῶν, ὅτι πολλάκις ἀπραγμόνως
most-reasonable of-the citizens because often without-trouble
ἄρξαι παρὸν οὐ θελήσας, νῦν ὑπὲρ τῆς ἐλευθερίας καὶ
to-hold-office being-possible not having-wished now for the freedom and
πολιτείας ἀγωνιούμενος οὐκ ἀκινδύνως κάτεισι. λέγεται
constitution going-to-fight not without-danger he-comes-down it-is-said
δέ, πολλῶν ὑπὸ σπουδῆς καὶ φιλοφροσύνης ὠθουμένων
and many from zeal and friendliness pushing
πρὸς αὐτόν, ἐν κινδύνῳ γενόμενος μόλις ἐξικέσθαι διὰ
toward him in danger having-been barely to-have-reached because-of
πλῆθος εἰς τὴν ἀγοράν. ἀποδειχθεὶς δὲ δήμαρχος σὺν
the-crowd to the forum having-been-appointed and tribune with
ἑτέροις, καὶ τῷ Μετέλλῳ, τὰς ὑπατικὰς ἀρχαιρεσίας
others and — Metellus the consular elections
ὁρῶν ὠνίους οὔσας, ἐπετίμησε τῷ δήμῳ· καὶ καταπαύων
seeing purchasable being he-rebuked the people and ending
τὸν λόγον ἐπώμοσε τοῦ δόντος ἀργύριον, ὅστις
the speech swore of-the(-man) having-given money whoever
ἂν ᾖ, κατηγορήσειν, ἕνα Σιλανὸν ὑπεξελόμενος δι'
— may-be to-accuse(-him) one Silanus excepting because-of
οἰκειότητα. Σερβιλίαν γὰρ ἀδελφὴν Κάτωνος ὁ Σιλανὸς
kinship Servilia for sister of-Cato — Silanus
εἶχε. διὸ τοῦτον μὲν παρῆκε, Λεύκιον δὲ Μουρήναν
had wherefore this-one indeed he-let-pass Lucius but Murena
ἐδίωκεν ἀργυρίῳ διαπραξάμενον ἄρχοντα μετὰ τοῦ
he-prosecuted by-money having-managed magistrate with —

Σιλανοῦ γενέσθαι. νόμῳ δέ τινι τοῦ φεύγοντος ἀεὶ
Silanus to-become by-law and some the defendant always
φύλακα τῷ κατηγόρῳ διδόντος, ὥστε μὴ λαθεῖν ἃ
a-guard to-the accuser giving so-that not to-escape-notice what
συνάγει καὶ παρασκευάζεται πρὸς τὴν κατηγορίαν, ὁ
he-collects and prepares for the accusation the(-man)
τῷ Κάτωνι δοθεὶς ὑπὸ τοῦ Μουρήνα παρακολουθῶν καὶ
— to-Cato given by — Murena following and
παραφυλάττων, ὡς ἑώρα μηθὲν ἐπιβούλως πράττοντα
watching(-him) when he-saw nothing treacherously doing
μηδὲ ἀδίκως, ἀλλὰ γενναίως τε καὶ φιλανθρώπως ἁπλῆν
nor unjustly but nobly both and humanely a-simple
τινα τῆς κατηγορίας καὶ δικαίαν ὁδὸν πορευόμενον, οὕτως
some of-the accusation and just road traveling so
ἐθαύμαζε τὸ φρόνημα καὶ τὸ ἦθος ὥστε κατ᾽ ἀγορὰν
admired the spirit and the character so-that in forum
προσιὼν καὶ φοιτῶν ἐπὶ θύρας πυνθάνεσθαι τοῦ Κάτωνος
approaching and coming to the-door to-inquire — of-Cato
εἰ μέλλει τι σήμερον πραγματεύσασθαι τῶν
whether he-intends anything today to-transact of-the(-matters)
περὶ τὴν κατηγορίαν· εἰ δὲ μὴ φαίη, πιστεύων ἀπῄει.
about the accusation if but not he-said trusting(-him) he-went-away
Τῆς δὲ δίκης λεγομένης ὁ Κικέρων, ὕπατος ὢν
the and trial being-pleaded — Cicero consul being
τότε καὶ τῷ Μουρήνᾳ συνδικῶν, πολλὰ διὰ τὸν
then and — for-Murena pleading-with(-him) much because-of —
Κάτωνα τοὺς Στωϊκοὺς φιλοσόφους καὶ ταῦτα δὴ τὰ
Cato the Stoic philosophers and these indeed the
παράδοξα καλούμενα δόγματα χλευάζων καὶ παρασκώπτων
paradoxes called doctrines mocking and jesting-at
γέλωτα παρεῖχε τοῖς δικασταῖς. τὸν οὖν Κάτωνά φασι
laughter afforded to-the jurors — then Cato they-say

διαμειδιάσαντα πρὸς τοὺς παρόντας εἰπεῖν· "Ὦ ἄνδρες,
smiling to those present to-have-said O men
ὡς γελοῖον ὕπατον ἔχομεν." ἀποφυγὼν δὲ ὁ Μουρήνας
what a-laughable consul we-have having-been-acquitted and — Murena
οὐ πονηροῦ πάθος οὐδὲ ἄφρονος ἔπαθεν ἀνθρώπου πρὸς
not of-a-bad feeling nor of-a-foolish felt man toward
τὸν Κάτωνα· καὶ γὰρ ὑπατεύων ἐχρῆτο συμβούλῳ τῶν
— Cato and for being-consul he-used(-him) as-adviser of-the
μεγίστων, καὶ τἆλλα τιμῶν καὶ πιστεύων διετέλεσεν.
greatest(-matters) and in-the-rest honoring and trusting(-him) continued
αἴτιος δὲ ἦν ὁ Κάτων αὐτός, ἐπὶ τοῦ βήματος καὶ τοῦ
cause and was — Cato himself on the tribunal and the
συνεδρίου χαλεπὸς ὢν καὶ φοβερὸς ὑπὲρ τῶν δικαίων,
senate harsh being and formidable for the just(-causes)
εἶτα πᾶσιν εὐνοϊκῶς καὶ φιλανθρώπως προσφερόμενος.
then to-all kindly and humanely behaving

22 Πρὶν δὲ εἰς τὴν δημαρχίαν καθίστασθαι, Κικέρωνος
before and into the tribunate to-be-installed Cicero
ὑπατεύοντος, ἄλλοις τε πολλοῖς ἀγῶσι τὴν ἀρχὴν ὤρθωσεν
being-consul in-other both many contests the office he-upheld
αὐτοῦ καὶ ταῖς περὶ Κατιλίναν πράξεσι μεγίσταις καὶ
his and to-the about Catiline transactions greatest and
καλλίσταις γενομέναις τέλος ἐπέθηκεν. αὐτὸς μὲν γὰρ ὁ
noblest having-been an-end he-put himself indeed for —
Κατιλίνας ὀλέθριόν τε καὶ παντελῆ μεταβολὴν ἐπάγων
Catiline ruinous both and total change bringing-on
τοῖς Ῥωμαίων πράγμασι καὶ στάσεις ὁμοῦ καὶ πολέμους
to-the of-Romans affairs and factions at-once and wars
ταράττων ἐξελεγχθεὶς ὑπὸ τοῦ Κικέρωνος ἐξέπεσε τῆς
stirring having-been-exposed by — Cicero fled-from the
πόλεως, Λέντλος δὲ καὶ Κέθηγος καὶ μετ' αὐτῶν ἕτεροι
city Lentulus but and Cethegus and with them others

συχνοὶ δεξάμενοι τὴν συνωμοσίαν, καὶ τῷ Κατιλίνᾳ
many having-taken-over the conspiracy and — to-Catiline
δειλίαν καὶ μικρολογίαν τῶν τολμημάτων ἐπικαλοῦντες,
cowardice and pettiness of-the ventures imputing
αὐτοὶ διενοοῦντο τὴν πόλιν ἄρδην ἀναιρεῖν πυρὶ καὶ τὴν
themselves were-intending the city utterly to-destroy by-fire and the
ἡγεμονίαν ἐθνῶν ἀποστάσεσι καὶ πολέμοις ἀλλοφύλοις
supremacy of-nations by-revolts and by-wars foreign
ἀνατρέπειν. φανερᾶς δὲ τῆς παρασκευῆς αὐτῶν γενομένης,
to-overturn evident and the preparation their having-become
καὶ Κικέρωνος ἐν βουλῇ γνώμην προθέντος, ὁ μὲν πρῶτος
and Cicero in senate the-question having-put the indeed first
εἰπὼν Σιλανὸς ἀπεφήνατο δοκεῖν αὐτῷ τὰ ἔσχατα
speaker Silanus declared to-seem-good to-him the extreme
παθεῖν χρῆναι τοὺς ἄνδρας, οἱ δὲ μετ᾽ αὐτὸν ἐφεξῆς
to-suffer to-be-needful the men those and after him in-order
ἠκολούθησαν, ἄχρι Καίσαρος. Καῖσαρ δὲ ἀναστάς, ἅτε
followed until Caesar Caesar but having-risen inasmuch
δὴ καὶ δεινὸς εἰπεῖν καὶ πᾶσαν ἐν τῇ πόλει μεταβολὴν
indeed also clever to-speak and every in the city change
καὶ κίνησιν ὥσπερ ὕλην ὧν αὐτὸς διενοεῖτο βουλόμενος
and commotion as fuel of-what he intended wishing
αὔξειν μᾶλλον ἢ σβεννυμένην περιορᾶν, ἐπαγωγὰ πολλὰ
to-increase rather than being-quenched to-overlook persuasive-things many
καὶ φιλάνθρωπα διαλεχθεὶς ἀποκτεῖναι μὲν ἀκρίτους οὐκ
and humane having-said to-kill indeed untried not
εἴα τοὺς ἄνδρας, εἰρχθέντας δὲ τηρεῖν ἐκέλευσεν,
he-allowed the men imprisoned but to-keep(-them) he-urged
οὕτω δὲ τὰς γνώμας μετέστησε τῆς βουλῆς, φοβηθείσης
so and the opinions he-changed of-the senate fearing
τὸν δῆμον, ὥστε καὶ Σιλανὸν ἔξαρνον εἶναι καὶ λέγειν
the people so-that even Silanus denying to-be and to-say

ὡς οὐδ᾽ αὐτὸς εἴποι θάνατον, ἀλλὰ εἱργμόν· ἔσχατον
that not-even he had-said death but imprisonment extreme
γὰρ ἀνδρὶ Ῥωμαίῳ τοῦτο κακῶν ἁπάντων.
for to-a-man Roman this of-evils all

23 Γενομένης δὲ τοιαύτης τῆς τροπῆς καὶ ἁπάντων ἐπὶ τὸ
having-occurred and such the change and all to the
πρᾳότερον ῥυέντων καὶ φιλανθρωπότερον, ὁ Κάτων πρὸς
milder having-flowed and more-humane — Cato on
τὴν γνώμην ἀναστὰς εὐθὺς ἵετο τῷ λόγῳ μετ᾽ ὀργῆς
the question having-risen at-once rushed in-the speech with anger
καὶ πάθους, τόν τε Σιλανὸν κακίζων τῆς μεταβολῆς,
and passion — both Silanus reproaching for-the change
καὶ καθαπτόμενος τοῦ Καίσαρος ὡς σχήματι δημοτικῷ
and attacking — of-Caesar as under-guise democratic
καὶ λόγῳ φιλανθρώπῳ τὴν πόλιν ἀνατρέποντος, καὶ
and with-speech humane the city overturning and
δεδιττομένου τὴν βουλὴν ἐφ᾽ οἷς αὐτὸν ἔδει δεδιέναι
frightening the senate at what himself it-behooved to-fear
καὶ ἀγαπᾶν εἰ τῶν γεγονότων ἀθῷος ἀπαλλάξει καὶ
and to-be-content if from-the events unpunished he-will-escape and
ἀνύποπτος, οὕτως περιφανῶς καὶ ἰταμῶς τοὺς κοινοὺς
unsuspected so openly and recklessly the common
ἐξαρπάζων πολεμίους καὶ τὴν παρ᾽ οὐδὲν ἐλθοῦσαν
snatching-away enemies and the by nothing having-come
ἀπολέσθαι πατρίδα τοιαύτην καὶ τοσαύτην ὁμολογῶν μὴ
to-perish fatherland such and so-great confessing not
ἐλεεῖν, ἀλλ᾽ οὓς ἔδει μὴ γενέσθαι μηδὲ φῦναι
to-pity but those-whom it-behooved not to-have-been nor to-have-been-born
δακρύων καὶ ἀνακλαιόμενος, εἰ φόνων μεγάλων καὶ
weeping-over and lamenting if from-murders great and
κινδύνων ἀπαλλάξουσι τὴν πόλιν ἀποθανόντες.
dangers they-will-free the city having-died

Τοῦτον μόνον ὧν Κάτων εἶπε διασῴζεσθαί φασι τὸν
this only of-what Cato said to-be-preserved they-say the
λόγον, Κικέρωνος τοῦ ὑπάτου τοὺς διαφέροντας ὀξύτητι τῶν
speech Cicero the consul those excelling in-speed of-the
γραφέων σημεῖα προδιδάξαντος ἐν μικροῖς καὶ βραχέσι
clerks signs having-taught-beforehand in small and short
τύποις πολλῶν γραμμάτων ἔχοντα δύναμιν, εἶτα ἄλλον
figures of-many letters having force then one
ἀλλαχόσε τοῦ βουλευτηρίου σποράδην ἐμβαλόντος. οὔπω
in-another-place of-the senate-house scattered having-placed not-yet
γὰρ ἤσκουν οὐδ' ἐκέκτηντο τοὺς καλουμένους σημειογράφους,
for practiced nor possessed the so-called shorthand-writers
ἀλλὰ τότε πρῶτον εἰς ἴχνος τι καταστῆναι λέγουσιν.
but then first in a-track some to-have-been-set they-say
ἐκράτησε δ' οὖν ὁ Κάτων καὶ μετέστησε τὰς γνώμας,
prevailed and then — Cato and changed the opinions
ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν.
so-that death to-vote of-the men

VI · SERVILIA AND MARCIA

During the Catiline debate Caesar receives a note, which proves to be a love letter from Cato's half-sister Servilia; Cato throws it back. Plutarch notes the scandals of Cato's family, and tells how Cato gave his wife Marcia to Hortensius with her father's consent. Cato's grain dole quiets the poor. When Metellus proposes recalling Pompey with his army, Cato vows that Pompey will not enter armed while he lives, then passes the gladiators to sit between Metellus and Caesar.

Εἰ δὲ δεῖ μηδὲ τὰ μικρὰ τῶν ἠθῶν σημεῖα 24
if and it-is-needful not-even the small of-the characters signs
παραλιπεῖν ὥσπερ εἰκόνα ψυχῆς ὑπογραφομένους, λέγεται,
to-omit as-if a-portrait of-soul sketching it-is-said

τότε πολλὴν ἅμιλλαν καὶ μέγαν ἀγῶνα πρὸς τὸν
then great rivalry and great struggle with —
Κάτωνα τοῦ Καίσαρος ἔχοντος καὶ τῆς βουλῆς εἰς
Cato — of-Caesar having and the senate on
ἐκείνους ἀνηρτημένης, δελτάριόν τι μικρὸν ἔξωθεν
them hanging a-little-tablet some small from-outside
εἰσκομισθῆναι τῷ Καίσαρι. τοῦ δὲ Κάτωνος εἰς ὑποψίαν
to-have-been-brought — to-Caesar — and of-Cato into suspicion
ἄγοντος τὸ πρᾶγμα καὶ διαβάλλοντος εἶναί τινας
bringing the matter and alleging to-be some
τοὺς κινουμένους, καὶ κελεύοντος ἀναγινώσκειν τὰ
the(-ones) stirring and bidding(-him) to-read-out the
γεγραμμένα, τὸν Καίσαρα τῷ Κάτωνι προσδοῦναι τὸ
written(-things) — Caesar — to-Cato to-have-handed the
δελτάριον ἐγγὺς ἑστῶτι. τὸν δὲ ἀναγνόντα Σερβιλίας
tablet near standing he and having-read of-Servilia
τῆς ἀδελφῆς ἐπιστόλιον ἀκόλαστον πρὸς τὸν Καίσαρα
the sister a-note licentious to — Caesar
γεγραμμένον, ἐρώσης καὶ διεφθαρμένης ὑπ' αὐτοῦ,
written being-in-love and seduced by him
προσρῖψαί τε τῷ Καίσαρι καὶ εἰπεῖν, "Κράτει,
to-have-tossed(-it)-back both — to-Caesar and to-have-said take-it
μέθυσε," καὶ πάλιν οὕτως ἐπὶ τὸν ἐξ ἀρχῆς λόγον
drunkard and again so to the from beginning speech
τραπέσθαι.
to-have-turned
Φαίνεται δὲ ὅλως ἀτύχημα γενέσθαι τοῦ Κάτωνος ἡ
it-appears and altogether a-misfortune to-have-been — of-Cato the
γυναικωνῖτις. αὕτη μὲν γὰρ ἐπὶ Καίσαρι κακῶς ἤκουσε·
women's-side this-one indeed for for Caesar badly heard
τὰ δὲ τῆς ἑτέρας Σερβιλίας, ἀδελφῆς δὲ Κάτωνος,
the but(-conduct) of-the other Servilia sister and of-Cato

ἀσχημονέστερα. Λευκόλλῳ γὰρ γαμηθεῖσα, πρωτεύσαντι
more-disgraceful to-Lucullus for married first
Ῥωμαίων κατὰ δόξαν ἀνδρί, καὶ τεκοῦσα παιδίον
of-Romans in reputation a-man and having-borne a-child
ἐξέπεσε τοῦ οἴκου δι' ἀκολασίαν. τὸ δὲ αἴσχιστον,
she-was-cast-out of-the house for licentiousness the but most-shameful
οὐδ' ἡ γυνὴ τοῦ Κάτωνος Ἀτιλία τοιούτων ἐκαθάρευσεν
not-even the wife — of-Cato Atilia from-such kept-clean
ἁμαρτημάτων, ἀλλὰ καίπερ ἐξ αὐτῆς δύο παιδία
errors but although by her two children
πεποιημένος ἀνάγκην ἔσχεν ἐκβαλεῖν ἀσχημονοῦσαν.
having-had necessity he-had to-put(-her)-away behaving-disgracefully
Εἶτα ἔγημε θυγατέρα Φιλίππου, Μαρκίαν, ἐπιεικῆ 25
then he-married daughter of-Philippus Marcia reasonable
δοκοῦσαν εἶναι γυναῖκα, περὶ ἧς ὁ πλεῖστος λόγος·
seeming to-be a-woman about whom the most talk
καὶ καθάπερ ἐν δράματι τῷ βίῳ τοῦτο τὸ μέρος
and as-if in a-drama in-the life this the part
προβληματῶδες γέγονε καὶ ἄπορον. ἐπράχθη δὲ τοῦτον
problematic has-become and perplexing it-was-done and this
τὸν τρόπον, ὡς ἱστορεῖ Θρασέας, εἰς Μουνάτιον, ἄνδρα
the manner as records Thrasea to Munatius a-man
Κάτωνος ἑταῖρον καὶ συμβιωτήν, ἀναφέρων τὴν πίστιν.
of-Cato companion and intimate referring the credit
ἐν πολλοῖς ἐρασταῖς καὶ θαυμασταῖς τοῦ Κάτωνος ἦσαν
among many lovers and admirers — of-Cato were
ἑτέρων ἕτεροι μᾶλλον ἔκδηλοι καὶ διαφανεῖς, ὧν καὶ
than-others some more conspicuous and manifest of-whom also
Κόϊντος Ὁρτήσιος, ἀνὴρ ἀξιώματός τε λαμπροῦ καὶ τὸν
Quintus Hortensius a-man of-dignity both brilliant and in-the
τρόπον ἐπιεικής. ἐπιθυμῶν οὖν τῷ Κάτωνι μὴ συνήθης
character reasonable desiring then — to-Cato not intimate

εἶναι μηδὲ ἑταῖρος μόνον, ἀλλ᾽ ἁμῶς γέ πως εἰς
to-be nor companion only but in-some-way at-least somehow into
οἰκειότητα καταμίξαι καὶ κοινωνίαν πάντα τὸν οἶκον καὶ τὸ
kinship to-blend and partnership all the house and the
γένος, ἐπεχείρησε συμπείθειν ὅπως τὴν θυγατέρα Πορκίαν,
family tried to-persuade that the daughter Porcia
Βύβλῳ συνοικοῦσαν καὶ πεποιημένην ἐκείνῳ δύο παῖδας,
to-Bibulus married and having-borne to-him two children
αὐτῷ πάλιν ὥσπερ εὐγενῆ χώραν ἐντεκνώσασθαι παράσχῃ.
to-him again as noble soil to-beget-in he-should-grant
δόξῃ μὲν γὰρ ἀνθρώπων ἄτοπον εἶναι τὸ τοιοῦτον,
in-opinion indeed for of-men strange to-be the such(-thing)
φύσει δὲ καλὸν καὶ πολιτικόν, ἐν ὥρᾳ καὶ ἀκμῇ γυναῖκα
by-nature but good and civic in prime and vigor a-woman
μήτε ἀργεῖν τὸ γόνιμον ἀποσβέσασαν, μήτε πλείονα τῶν
neither to-be-idle the fertility having-quenched nor more than-the
ἱκανῶν ἐπιτίκτουσαν, ἐνοχλεῖν καὶ καταπτωχεύειν οὐδὲν
sufficient bearing to-burden and to-impoverish nothing
δεόμενον, κοινουμένους δὲ τὰς διαδοχὰς ἀξίοις ἀνδράσι
needing sharing and the successions with-worthy men
τήν τε ἀρετὴν ἄφθονον ποιεῖν καὶ πολύχυτον τοῖς γένεσι,
the both virtue abundant to-make and widespread in-the families
καὶ τὴν πόλιν αὐτὴν πρὸς αὑτὴν ἀνακεραννύναι ταῖς
and the city itself with itself to-blend by-the
οἰκειότησιν. εἰ δὲ πάντως περιέχοιτο τῆς γυναικὸς ὁ
kinships if and altogether should-cling-to the wife —
Βύβλος, ἀποδώσειν εὐθὺς τεκοῦσαν, οἰκειότερος αὐτῷ
Bibulus he-would-give-back at-once having-borne more-closely-related himself
τε Βύβλῳ καὶ Κάτωνι κοινωνίᾳ παίδων γενόμενος.
both to-Bibulus and to-Cato by-sharing of-children having-become

Ἀποκριναμένου δὲ τοῦ Κάτωνος ὡς Ὁρτήσιον μὲν ἀγαπᾷ
having-answered and — of-Cato that Hortensius indeed he-loves
καὶ δοκιμάζει κοινωνὸν οἰκειότητος, ἄτοπον δὲ ἡγεῖται
and approves as-partner of-kinship strange but he-considers
ποιεῖσθαι λόγον περὶ γάμου θυγατρὸς ἑτέρῳ δεδομένης,
to-make talk about marriage of-a-daughter to-another given
μεταβαλὼν ἐκεῖνος οὐκ ὤκνησεν ἀποκαλυψάμενος αἰτεῖν
having-changed he not hesitated having-uncovered(-his-meaning) to-ask
τὴν αὐτοῦ γυναῖκα Κάτωνος, νέαν μὲν οὖσαν ἔτι πρὸς
the own wife of-Cato young indeed being still for
τὸ τίκτειν, ἔχοντος δὲ τοῦ Κάτωνος ἀποχρῶσαν διαδοχήν.
the bearing having and — of-Cato sufficient succession
καὶ οὐκ ἔστιν εἰπεῖν ὡς ταῦτα ἔπραττεν εἰδὼς οὐ
and not it-is-possible to-say that these-things he-did knowing not
προσέχοντα τῇ Μαρκίᾳ τὸν Κάτωνα· κύουσαν γὰρ αὐτὴν
attending — to-Marcia — Cato pregnant for her
τότε τυγχάνειν λέγουσιν. ὁ δ' οὖν Κάτων ὁρῶν τὴν τοῦ
then to-be they-say — and then Cato seeing the —
Ὁρτησίου σπουδὴν καὶ προθυμίαν οὐκ ἀντεῖπεν, ἀλλ'
of-Hortensius zeal and eagerness not spoke-against(-it) but
ἔφη δεῖν καὶ Φιλίππῳ ταῦτα συνδόξαι τῷ πατρὶ
said it-was-needful also to-Philippus these-things to-seem-good the father
τῆς Μαρκίας. ὡς οὖν ὁ Φίλιππος ἐντευχθεὶς ἔγνω
— of-Marcia when then — Philippus having-been-approached knew
τὴν συγχώρησιν, οὐκ ἄλλως ἐνεγγύησε τὴν Μαρκίαν ἢ
the consent not otherwise he-betrothed — Marcia than
παρόντος τοῦ Κάτωνος αὐτοῦ καὶ συνεγγυῶντος. ταῦτα
being-present — of-Cato himself and joining-in-the-betrothal these-things
μὲν οὖν, εἰ καὶ χρόνοις ὕστερον ἐπράχθη, μνησθέντι
indeed then if even in-times later were-done having-mentioned
μοι τὸ τῶν γυναικῶν προλαβεῖν ἔδοξε.
to-me the(-matter) of-the women to-anticipate seemed-good

26 Τῶν δὲ περὶ τὸν Λέντλον ἀναιρεθέντων, καὶ τοῦ Καίσαρος
those and around — Lentulus having-been-executed and — of-Caesar
περὶ ὧν εἰσηγγέλθη καὶ διεβλήθη πρὸς τὴν σύγκλητον
about what he-was-impeached and accused before the senate
εἰς τὸν δῆμον καταφυγόντος καὶ τὰ πολλὰ νοσοῦντα
to the people having-fled-for-refuge and the many diseased
καὶ διεφθαρμένα τῆς πολιτείας μέρη ταράττοντος καὶ
and corrupted of-the state parts stirring-up and
συνάγοντος πρὸς αὑτόν, ὁ Κάτων φοβηθεὶς ἔπεισε τὴν
gathering to himself — Cato having-feared persuaded the
βουλὴν ἀναλαβεῖν τὸν ἄπορον καὶ ἀνέμητον ὄχλον εἰς
senate to-take-up the needy and landless mob into
τὸ σιτηρέσιον, ἀναλώματος μὲν ὄντος ἐνιαυσίου χιλίων
the grain-dole the-expense indeed being yearly of-thousand
καὶ διακοσίων καὶ πεντήκοντα ταλάντων, περιφανῶς δὲ
and two-hundred and fifty talents conspicuously but
τῇ φιλανθρωπίᾳ ταύτῃ καὶ χάριτι τῆς ἀπειλῆς ἐκείνης
by-the humanity this and favor the threat that
διαλυθείσης. ἐντεῦθεν εἰς τὴν δημαρχίαν ἐμπεσὼν ὁ
having-been-dissolved thereupon into the tribunate having-burst —
Μέτελλος ἐκκλησίας τε θορυβώδεις συνῆγε, καὶ νόμον
Metellus assemblies both tumultuous he-convened and a-law
ἔγραψε Πομπήϊον Μάγνον ἰέναι κατὰ τάχος μετὰ τῶν
proposed Pompey Magnus to-come in haste with the
δυνάμεων εἰς Ἰταλίαν καὶ παραλαβόντα σώζειν τὴν
forces to Italy and having-taken-over(-it) to-save the
πόλιν, ὡς ὑπὸ Κατιλίνα κινδυνεύουσαν. ἦν δὲ τοῦτο
city as by Catiline endangered was and this
λόγος εὐπρεπής, ἔργον δὲ τοῦ νόμου καὶ τέλος ἐγχειρίσαι
a-pretext specious the-deed but of-the law and end to-entrust
τὰ πράγματα Πομπηΐῳ καὶ παραδοῦναι τὴν ἡγεμονίαν.
the affairs to-Pompey and to-hand-over the supremacy

γενομένης δὲ βουλῆς καὶ τοῦ Κάτωνος οὐχ, ὥσπερ
having-been and a-senate and — of-Cato not as
εἰώθει, τῷ Μετέλλῳ σφοδρῶς ἐμπεσόντος, ἀλλ'
he-was-accustomed — Metellus violently having-attacked but
ἐπιεικῆ πολλὰ καὶ μέτρια παραινέσαντος, τέλος δὲ καὶ
reasonable-things many and moderate having-advised finally and even
πρὸς δεήσεις τραπομένου καὶ τὴν Μετέλλων οἰκίαν ἀεὶ
to entreaties having-turned and the of-the-Metelli house always
γενομένην ἀριστοκρατικὴν ἐπαινέσαντος, ἔτι μᾶλλον ἐξαρθεὶς
having-been aristocratic having-praised still more elated
καὶ καταφρονήσας ὁ Μέτελλος ὡς ἐνδιδόντος αὐτοῦ καὶ
and despising(-him) — Metellus as yielding him and
πτήσσοντος εἰς ὑπερηφάνους ἀπειλὰς καὶ λόγους θρασεῖς
cowering into arrogant threats and speeches bold
ἐξέπεσεν, ὡς βίᾳ πάντα τῆς βουλῆς διαπραξόμενος. οὕτω
broke-out as in-defiance all-things of-the senate going-to-carry-through thus
δὴ μεταβαλὼν ὁ Κάτων καὶ σχῆμα καὶ φωνὴν καὶ λόγον,
indeed having-changed — Cato both bearing and voice and speech
ἐπειπὼν δὲ πᾶσι τοῖς ἄλλοις διατεταμένως ὅτι ζῶντος
having-declared and to-all the others vehemently that living
αὐτοῦ Πομπήϊος οὐ παρέσται μεθ' ὅπλων εἰς τὴν πόλιν,
him Pompey not will-be-present with arms in the city
ἐκεῖνο τῇ βουλῇ παρέστησεν, ὡς οὐδέτερος μὲν καθέστηκεν
this to-the senate made-plain that neither indeed is-settled
οὐδὲ χρῆται λογισμοῖς ἀσφαλέσιν, ἔστι δὲ ἡ μὲν Μετέλλου
nor uses reasonings safe is but the indeed of-Metellus
πολιτεία μανία δι' ὑπερβολὴν κακίας φερομένη πρὸς
policy madness through excess of-wickedness borne toward
ὄλεθρον καὶ σύγχυσιν ἁπάντων, ἡ δὲ Κάτωνος ἀρετῆς
destruction and confusion of-all the but of-Cato of-a-virtue
ἐνθουσιασμὸς ὑπὲρ τῶν καλῶν καὶ δικαίων ἀγωνιζομένης.
enthusiasm for the noble and just fighting

27 Ἐπεὶ δὲ τὴν ψῆφον ὑπὲρ τοῦ νόμου φέρειν ὁ δῆμος
when and the vote on the law to-cast the people
ἔμελλε, Μετέλλῳ μὲν ὅπλα καὶ ξένοι καὶ μονομάχοι
was-about to-Metellus indeed arms and foreigners and gladiators
καὶ θεράποντες ἐπὶ τὴν ἀγορὰν τεταγμένοι παρῆσαν, καὶ
and slaves in the forum arrayed were-present and
τὸ ποθοῦν μεταβολῆς ἐλπίδι Πομπήϊον ὑπῆρχε τοῦ δήμου
the longing of-change in-hope Pompey was of-the people
μέρος οὐκ ὀλίγον, ἦν δὲ μεγάλη καὶ ἀπὸ Καίσαρος ῥώμη
a-part not small was and great also from Caesar strength
στρατηγοῦντος τότε, Κάτωνι δὲ οἱ πρῶτοι τῶν πολιτῶν
being-praetor then for-Cato but the first of-the citizens
συνηγανάκτουν καὶ συνηδικοῦντο μᾶλλον ἢ συνηγωνίζοντο,
shared-indignation and shared-the-wrong rather than fought-with(-him)
πολλὴ δὲ τὴν οἰκίαν αὐτοῦ κατήφεια καὶ φόβος εἶχεν, ὥστε
great and the house his dejection and fear held so-that
τῶν φίλων ἐνίους ἀσίτους διαγρυπνῆσαι μετ᾽ ἀλλήλων
of-the friends some without-food to-have-stayed-awake with each-other
ἐν ἀπόροις ὄντας ὑπὲρ αὐτοῦ λογισμοῖς, καὶ γυναῖκα καὶ
in helpless being about him reasonings and wife and
ἀδελφὰς ποτνιωμένας καὶ δακρυούσας. αὐτὸς δ᾽ ἀδεῶς
sisters wailing and weeping he but fearlessly
καὶ τεθαρρηκότως ἐντυχὼν πᾶσι καὶ παρηγορήσας,
and confidently having-met all and having-comforted(-them)
καὶ γενόμενος περὶ δεῖπνον, ὥσπερ εἰώθει, καὶ
and having-been at dinner as he-was-accustomed and
νυκτερεύσας, ὑφ᾽ ἑνὸς τῶν συναρχόντων, Μινυκίου
having-passed-the-night by one of-the colleagues Minucius
Θέρμου, βαθέως καθεύδων ἐπηγέρθη· καὶ κατέβησαν εἰς
Thermus deeply sleeping he-was-roused and they-went-down to
ἀγοράν, ὀλίγων μὲν αὐτοὺς προπεμπόντων, πολλῶν δὲ
forum few indeed them escorting many but

ἀπαντώντων καὶ φυλάττεσθαι παρακελευομένων. ὡς οὖν
meeting(-them) and to-be-on-guard urging when then
ἐπιστὰς ὁ Κάτων κατεῖδε τὸν νεὼν τῶν Διοσκούρων
having-arrived — Cato saw the temple of-the Dioscuri
ὅπλοις περιεχόμενον καὶ τὰς ἀναβάσεις φρουρουμένας ὑπὸ
with-arms surrounded and the steps guarded by
μονομάχων, αὐτὸν δὲ καθήμενον ἄνω μετὰ Καίσαρος τὸν
gladiators himself and seated above with Caesar —
Μέτελλον, ἐπιστρέψας πρὸς τοὺς φίλους, "Ὦ θρασέος,"
Metellus having-turned to the friends O bold
εἶπεν, "ἀνθρώπου καὶ δειλοῦ, ὃς καθ' ἑνὸς ἀνόπλου
he-said man and cowardly who against one unarmed
καὶ γυμνοῦ τοσούτους ἐστρατολόγησεν." ἅμα δ' εὐθὺς
and defenseless so-many has-enlisted at-once and straightway
ἐβάδιζε μετὰ τοῦ Θέρμου. καὶ διέστησαν αὐτοῖς οἱ τὰς
he-went with — Thermus and made-way for-them those the
ἀναβάσεις κατέχοντες, ἄλλον δὲ οὐδένα παρῆκαν, ἢ μόλις
steps holding other but nobody they-let-through but barely
ἐπισπάσας τῆς χειρὸς ὁ Κάτων τὸν Μουνάτιον ἀνήγαγε·
having-drawn by-the hand — Cato — Munatius brought-up
καὶ βαδίζων εὐθὺς ὡς εἶχε καθίζει μέσον ἐμβαλὼν
and walking at-once as he-was he-sits in-the-middle having-thrust
ἑαυτὸν τοῦ Μετέλλου καὶ τοῦ Καίσαρος, ὥστε διακόψαι
himself — of-Metellus and — of-Caesar so-that to-cut-off
τὴν κοινολογίαν. κἀκεῖνοι μὲν διηπόρησαν, οἱ δὲ χαρίεντες
the conversation and-they indeed were-perplexed the but well-disposed
θεασάμενοι καὶ θαυμάσαντες τὸ πρόσωπον καὶ τὸ φρόνημα
having-seen and having-admired the face and the spirit
καὶ τὸ θάρσος τοῦ Κάτωνος ἐγγυτέρω προσῆλθον, καὶ
and the courage — of-Cato nearer came and
βοῇ διεκελεύσαντο τῷ μὲν Κάτωνι θαρρεῖν, μένειν
with-a-shout exhorted — indeed to-Cato to-take-courage to-stay

δὲ ἀλλήλοις καὶ συστρέφεσθαι καὶ μὴ προδιδόναι τὴν
and with-each-other and to-close-ranks and not to-betray the
ἐλευθερίαν καὶ τὸν ὑπὲρ αὐτῆς ἀγωνιζόμενον.
freedom and the(-man) for it fighting

VII · METELLUS ROUTED AND POMPEY REBUFFED

When Metellus reads his law, Cato snatches the document and Thermus stops his mouth. Stoned and rescued by Murena, Cato returns to rally the crowd; Metellus flees to Pompey, and Cato saves him from deposition. Cato defends Lucullus' triumph against Memmius. He refuses Pompey's request for his nieces, a refusal Plutarch thinks drove Pompey to Caesar. Cato denies Caesar leave to canvass in absence, so Caesar forgoes his triumph, and Cato opposes the land law.

28 Ἔνθα δὴ τοῦ ὑπηρέτου τὸν νόμον προχειρισαμένου, τοῦ
there indeed the clerk the law having-produced —
δὲ Κάτωνος οὐκ ἐῶντος ἀναγινώσκειν, τοῦ δὲ Μετέλλου
and of-Cato not allowing to-read — and of-Metellus
παραλαβόντος αὐτὸν καὶ ἀναγινώσκοντος, ὁ μὲν Κάτων
having-taken it and reading — indeed Cato
ἐξήρπασε τὸ βιβλίον, ὁ δὲ Θέρμος ἀπὸ στόματος τοῦ
snatched the document — and Thermus from mouth —
Μετέλλου τὸν νόμον ἐπισταμένου καὶ λέγοντος ἐπέσχε
of-Metellus the law knowing and reciting stopped
τῇ χειρὶ τὸ στόμα καὶ τὴν φωνὴν ἀπέκλεισεν, ἄχρι
with-the hand the mouth and the voice shut-off until
οὗ, ἄμαχον ὁρῶν ἀγῶνα τοὺς ἄνδρας ὁ Μέτελλος
which irresistible seeing struggle the men — Metellus
ἀγωνιζομένους, καὶ τὸν δῆμον ἡττώμενον πρὸς τὸ
struggling and the people being-won to the
συμφέρον καὶ τρεπόμενον, ἐκέλευσεν ἄποθεν ὁπλίτας μετὰ
advantageous and turning he-ordered from-afar hoplites with

φόβου καὶ κραυγῆς ἐπιτρέχειν. γενομένου δὲ τούτου καὶ
terror and shouting to-run-up having-occurred and this and
πάντων διασκεδασθέντων ὑποστάντα μόνον τὸν Κάτωνα καὶ
all scattered standing-firm alone — Cato and
βαλλόμενον λίθοις καὶ ξύλοις ἄνωθεν οὐ περιεῖδε Μουρήνας
pelted with-stones and sticks from-above not overlooked Murena
ὁ τὴν δίκην φυγὼν ὑπ᾽ αὐτοῦ καὶ κατηγορηθείς,
the(-one) the suit having-escaped by him and accused
ἀλλὰ τὴν τήβεννον προϊσχόμενος καὶ βοῶν ἀνασχεῖν
but the toga holding-before(-him) and shouting to-desist
τοῖς βάλλουσι, καὶ τέλος αὐτὸν τὸν Κάτωνα πείθων καὶ
to-those pelting and finally him — Cato persuading and
περιπτύσσων, εἰς τὸν νεὼν τῶν Διοσκούρων ἀπήγαγεν.
embracing into the temple of-the Dioscuri led(-him)-away
Ἐπεὶ δὲ κατεῖδεν ὁ Μέτελλος ἐρημίαν περὶ τὸ βῆμα καὶ
when and saw — Metellus emptiness around the tribunal and
φυγὴν δι᾽ ἀγορᾶς τῶν ἐναντιουμένων, παντάπασι πεισθεὶς
flight through forum of-the opponents altogether persuaded
κρατεῖν ἐκέλευσεν ἀπιέναι πάλιν τοὺς ὁπλοφόρους, καὶ
to-prevail he-ordered to-go-away again the armed-men and
προσελθὼν κοσμίως αὐτὸς ἐπεχείρει πράττειν τὰ
having-come-forward decorously he tried to-transact the(-business)
περὶ τὸν νόμον. οἱ δὲ ἐναντίοι ταχέως ἀναλαβόντες
about the law those and opposed quickly having-recovered
ἑαυτοὺς ἐκ τῆς τροπῆς ἐπῄεσαν αὖθις ἐμβοήσαντες μέγα
themselves from the rout came-on again having-shouted loud
καὶ θαρραλέον, ὥστε τοῖς περὶ τὸν Μέτελλον ἐμπεσεῖν
and bold so-that on-those around — Metellus to-fall
ταραχὴν καὶ δέος οἰομένοις ὅπλων ποθὲν εὐπορήσαντας
confusion and fear thinking of-arms from-somewhere having-got-a-supply
αὐτοὺς ἐπιφέρεσθαι, καὶ μηθένα μένειν, ἀλλὰ φεύγειν
them to-be-charging and nobody to-remain but to-flee

ἅπαντας ἀπὸ τοῦ βήματος. οὕτω δὴ σκεδασθέντων
all from the tribunal thus indeed having-been-scattered
ἐκείνων, τοῦ δὲ Κάτωνος προσελθόντος καὶ τὰ μὲν
they — and of-Cato having-come-forward and the(-one) indeed
ἐπαινέσαντος, τὰ δ' ἐπιρρώσαντος τὸν δῆμον, οἵ τε
having-praised the(-other) and having-encouraged the people the both
πολλοὶ παρετάξαντο παντὶ τρόπῳ καταλῦσαι τὸν Μέτελλον,
many were-arrayed in-every way to-depose — Metellus
ἥ τε σύγκλητος ἀθροισθεῖσα παρήγγειλεν ἀρχῆθεν
the and senate having-been-assembled proclaimed afresh
βοηθεῖν τῷ Κάτωνι καὶ διαμάχεσθαι πρὸς τὸν νόμον, ὡς
to-help — Cato and to-fight against the law as
στάσιν ἐπεισάγοντα τῇ Ῥώμῃ καὶ πόλεμον ἐμφύλιον.
faction bringing-in — to-Rome and war civil
29 Ὁ δὲ Μέτελλος αὐτὸς μὲν ἦν ἄτρεπτος καὶ θρασὺς
— and Metellus himself indeed was unflinching and bold
ἔτι, ὁρῶν δὲ τοὺς περὶ αὐτὸν ἐκπεπληγμένους κομιδῇ
still seeing but those around him dismayed utterly
τὸν Κάτωνα καὶ νομίζοντας ἄμαχον καὶ δυσεκβίαστον,
— at-Cato and thinking(-him) invincible and hard-to-overpower
αἰφνίδιον ἐξεπήδησεν εἰς τὴν ἀγοράν, καὶ συναγαγὼν τὸν
suddenly rushed-out into the forum and having-gathered the
δῆμον ἄλλα τε πολλὰ περὶ τοῦ Κάτωνος ἐπίφθονα διῆλθε,
people other both many about — Cato odious-things recounted
καὶ φεύγειν τὴν τυραννίδα βοῶν τὴν ἐκείνου καὶ τὴν
and to-be-fleeing the tyranny shouting the of-that-one and the
κατὰ Πομπηΐου συνωμοσίαν, ἐφ' ᾗ μετανοήσειν ταχὺ
against Pompey conspiracy for which would-repent soon
τὴν πόλιν ἀτιμάζουσαν ἄνδρα τοσοῦτον, ὥρμησεν εὐθὺς εἰς
the city dishonoring a-man so-great he-set-out at-once for
Ἀσίαν, ὡς ταῦτα πρὸς ἐκεῖνον κατηγορήσων. ἦν οὖν δόξα
Asia as these-things to him going-to-accuse was then glory

μεγάλη τοῦ Κάτωνος ἄχθος οὐ μικρὸν ἀπεσκευασμένου
great — of-Cato a-burden not small having-removed
τῆς δημαρχίας, καὶ τρόπον τινὰ τὴν Πομπηΐου δύναμιν
from-the tribunate and in-a-way some the of-Pompey power
ἐν Μετέλλῳ καθῃρηκότος. ἔτι δὲ μᾶλλον εὐδοκίμησε
in Metellus having-pulled-down still and more he-won-repute
τὴν σύγκλητον ὡρμημένην ἀτιμοῦν καὶ ἀποψηφίζεσθαι
the senate being-eager to-disgrace and to-depose
τὸν Μέτελλον οὐκ ἐάσας, ἀλλ' ἐναντιωθεὶς καὶ
— Metellus not having-allowed(-it) but having-opposed and
παραιτησάμενος. οἵ τε γὰρ πολλοὶ φιλανθρωπίας ἐποιοῦντο
having-interceded the both for many of-humanity accounted
καὶ μετριότητος τὸ μὴ ἐπεμβῆναι τῷ ἐχθρῷ μηδὲ ἐνυβρίσαι
and moderation the not to-trample-on the enemy nor to-insult(-him)
κατὰ κράτος περιγενόμενον, τοῖς τε φρονίμοις ὀρθῶς
by force having-prevailed to-the and prudent rightly
ἐφαίνετο καὶ συμφερόντως μὴ παροξῦναι Πομπήϊον.
it-appeared and expediently not to-provoke Pompey
Ἐκ τούτου Λεύκολλος ἐπανελθὼν ἐκ τῆς στρατείας, ἧς
after this Lucullus having-returned from the campaign of-which
ἔδοξε τὸ τέλος καὶ τὴν δόξαν ἀφῃρῆσθαι Πομπήϊος,
seemed the end and the glory to-have-taken-away Pompey
εἰς κίνδυνον ἦλθε τοῦ μὴ θριαμβεῦσαι, Γαΐου Μεμμίου
into danger came of-the not to-triumph Gaius Memmius
καταστασιάζοντος αὐτὸν ἐν τῷ δήμῳ καὶ δίκας ἐπάγοντος,
stirring-up-faction-against him in the people and lawsuits bringing
εἰς τὴν Πομπηΐου χάριν μᾶλλον ἢ κατὰ ἔχθος ἴδιον.
for the of-Pompey favor rather than from enmity private
ὁ δὲ Κάτων, οἰκειότητός τε πρὸς Λεύκολλον αὐτῷ
— and Cato kinship both with Lucullus to-him
γεγενημένης, ἔχοντα Σερβιλίαν τὴν ἀδελφὴν αὐτοῦ, καὶ τὸ
having-arisen having Servilia the sister his and the

πρᾶγμα δεινὸν ἡγούμενος, ἀντέστη τῷ Μεμμίῳ, καὶ πολλὰς
matter terrible thinking opposed — Memmius and many
ὑπέμεινε διαβολὰς καὶ κατηγορίας. τέλος δέ, τῆς ἀρχῆς
endured slanders and accusations finally and from-the office
ἐκβαλλόμενος ὡς τυραννίδος, τοσοῦτον ἐκράτησεν ὥστε
being-expelled as tyranny so-much he-prevailed so-that
τὸν Μέμμιον αὐτὸν ἀναγκάσαι τῶν δικῶν ἀποστῆναι
— Memmius himself to-compel from-the suits to-withdraw
καὶ φυγεῖν τὸν ἀγῶνα. Λεύκολλος μὲν οὖν θριαμβεύσας
and to-flee the contest Lucullus indeed then having-triumphed
ἔτι μᾶλλον ἐνεφύετο τῇ φιλίᾳ τοῦ Κάτωνος, ἔχων
still more clung to-the friendship — of-Cato having
ἔρυμα καὶ πρόβλημα μέγα πρὸς τὴν Πομπηΐου δύναμιν.
a-bulwark and defense great against the of-Pompey power
30 Πομπήϊος δὲ μέγας ἀπὸ τῆς στρατείας ἐπανιών, καὶ τῇ
Pompey and great from the campaign returning and in-the
λαμπρότητι καὶ προθυμίᾳ τῆς ὑποδοχῆς πεποιθὼς οὐδὲν ἂν
splendor and eagerness of-the reception trusting nothing —
δεηθεὶς ἀποτυχεῖν τῶν πολιτῶν, προὔπεμψεν ἀξιῶν τὰς
having-asked to-fail-to-get from-the citizens sent-ahead asking the
ὑπατικὰς ἀρχαιρεσίας ἀναβαλέσθαι τὴν σύγκλητον, ὡς ἂν
consular elections to-postpone the senate so-that —
αὐτὸς παρὼν Πείσωνι συναρχαιρεσιάσῃ. τῶν δὲ πλείστων
he being-present for-Piso might-help-canvass the and most
ὑπεικόντων, οὐ τὴν ἀναβολὴν μέγιστον ὁ Κάτων ἡγούμενος,
yielding not the postponement greatest — Cato considering
ἀλλὰ τὴν πεῖραν ἀποκόψαι καὶ τὴν ἐλπίδα τοῦ Πομπηΐου
but the attempt to-cut-off and the hope — of-Pompey
βουλόμενος, ἀντεῖπε καὶ μετέστησε τὴν βουλήν, ὥστε
wishing spoke-against(-it) and changed the senate so-that
ἀποψηφίσασθαι. τοῦτο τὸν Πομπήϊον οὐχ ἡσυχῇ διετάραξε·
to-vote-it-down this — Pompey not quietly disturbed

καὶ νομίζων οὐ μικρὰ προσπταίσειν τῷ Κάτωνι μὴ
and thinking not little-things he-would-stumble — with-Cato not
φίλῳ γενομένῳ, μετεπέμψατο Μουνάτιον, ἑταῖρον αὐτοῦ·
friend having-become he-sent-for Munatius companion his
καὶ δύο τοῦ Κάτωνος ἀδελφιδᾶς ἐπιγάμους ἔχοντος ᾔτει
and two — of-Cato nieces marriageable having(-him) he-asked
τὴν μὲν πρεσβυτέραν ἑαυτῷ γυναῖκα, τὴν δὲ νεωτέραν
the indeed elder for-himself as-wife the and younger
τῷ υἱῷ. τινὲς δέ φασιν οὐ τῶν ἀδελφιδῶν, ἀλλὰ τῶν
for-the son some and say not of-the nieces but of-the
θυγατέρων τὴν μνηστείαν γενέσθαι. τοῦ δὲ Μουνατίου
daughters the wooing to-have-been — and of-Munatius
ταῦτα πρὸς τὸν Κάτωνα καὶ τὴν γυναῖκα καὶ τὰς
these-things to — Cato and the wife and the
ἀδελφὰς φράσαντος, αἱ μὲν ὑπερηγάπησαν τὴν οἰκειότητα
sisters having-told they indeed were-delighted-with the kinship
πρὸς τὸ μέγεθος καὶ τὸ ἀξίωμα τοῦ ἀνδρός, ὁ δὲ Κάτων
for the greatness and the dignity of-the man — and Cato
οὔτ' ἐπισχὼν οὔτε βουλευσάμενος, ἀλλὰ πληγεὶς εὐθὺς
neither having-paused nor having-deliberated but stung at-once
εἶπε· "Βάδιζε, Μουνάτιε, βάδιζε, καὶ λέγε πρὸς Πομπήϊον
said go Munatius go and say to Pompey
ὡς Κάτων οὐκ ἔστι διὰ τῆς γυναικωνίτιδος ἁλώσιμος,
that Cato not is through the women's-quarters capturable
ἀλλὰ τὴν μὲν εὔνοιαν ἀγαπᾷ, καὶ τὰ δίκαια ποιοῦντι
but the indeed goodwill he-welcomes and the just(-things) to-him-doing
φιλίαν παρέξει πάσης πιστοτέραν οἰκειότητος, ὅμηρα δὲ
friendship he-will-give than-every more-trustworthy kinship hostages but
οὐ προήσεται τῇ Πομπηΐου δόξῃ κατὰ τῆς πατρίδος."
not he-will-give-up to-the of-Pompey glory against the fatherland

Ἐπὶ τούτοις ἤχθοντο μὲν αἱ γυναῖκες, ἠτιῶντο δὲ οἱ
at these-things were-vexed indeed the women blamed and the
φίλοι τοῦ Κάτωνος ὡς ἄγροικον ἅμα καὶ ὑπερήφανον τὴν
friends — of-Cato as boorish at-once and arrogant the
ἀπόκρισιν. εἶτα μέντοι πράττων τινὶ τῶν φίλων ὑπατείαν ὁ
answer then however securing for-one of-the friends a-consulship —
Πομπήϊος ἀργύριον εἰς τὰς φυλὰς ἔπεμπε, καὶ περιβόητος ὁ
Pompey money to the tribes sent and notorious the
δεκασμὸς ἦν, ἐν κήποις ἐκείνου τῶν χρημάτων ἀριθμουμένων.
bribery was in gardens his the money being-counted
εἰπόντος οὖν τοῦ Κάτωνος πρὸς τὰς γυναῖκας ὅτι τοιούτων
having-said then — of-Cato to the women that in-such
ἦν κοινωνεῖν καὶ ἀναπίμπλασθαι πραγμάτων
it-would-have-been to-share and to-be-filled-with affairs
ἀνάγκη Πομπηΐῳ συναφθέντα δι᾽ οἰκειότητος, ὡμολόγουν
necessity with-Pompey joined through kinship agreed
ἐκεῖναι κάλλιον αὐτὸν βεβουλεῦσθαι διακρουσάμενον. εἰ δὲ
they better him to-have-decided having-refused if but
δεῖ πρὸς τὰ συμβάντα κρίνειν, τοῦ παντὸς ἔοικεν
it-is-needful by the outcomes to-judge of-the whole it-seems
ὁ Κάτων ἁμαρτεῖν τὴν οἰκειότητα μὴ δεξάμενος, ἀλλ᾽
— Cato to-have-erred the kinship not having-accepted but
ἐάσας πρὸς Καίσαρα τραπέσθαι καὶ γῆμαι γάμον
having-allowed(-him) to Caesar to-turn and to-marry a-marriage
ὃς τὴν Πομπηΐου δύναμιν καὶ Καίσαρος εἰς ταὐτὸ
which the of-Pompey power and of-Caesar into the-same
συνενεγκὼν ὀλίγου τὰ μὲν Ῥωμαίων ἀνέτρεψε πράγματα,
having-brought-together nearly the indeed of-Romans overturned affairs
τὴν δὲ πολιτείαν ἀνεῖλεν, ὧν οὐθὲν ἂν ἴσως συνέπεσεν,
the and constitution destroyed of-which nothing — perhaps would-have-happened

εἰ μὴ Κάτων τὰ μικρὰ τοῦ Πομπηΐου φοβηθεὶς ἁμαρτήματα
if not Cato the small — of-Pompey having-feared faults
τὸ μέγιστον περιεῖδεν, αὐτὸν ἑτέρῳ δύναμιν προσγενόμενον.
the greatest overlooked him to-another as-power adding-himself
Ταῦτα μὲν οὖν ἔμελλεν ἔτι. Λευκόλλου δὲ περὶ τῶν ἐν 31
these-things indeed then were-to-come still Lucullus and about the in
Πόντῳ διατάξεων στασιάσαντος πρὸς Πομπήϊον (ἠξίουν
Pontus arrangements having-quarreled with Pompey claimed
γὰρ ἰσχύειν ἑκάτερος τὰ ὑφ' αὑτοῦ γενόμενα), καὶ
for to-prevail each the(-acts) by himself done and
Λευκόλλῳ Κάτωνος ἀδικουμένῳ περιφανῶς προσαμύνοντος,
to-Lucullus Cato being-wronged conspicuously giving-aid
ἐλαττούμενος ὁ Πομπήϊος ἐν συγκλήτῳ καὶ δημαγωγῶν,
being-worsted — Pompey in senate and courting-the-people
ἐπὶ νομὴν χώρας ἐκάλει τὸ στρατιωτικόν. ὡς δὲ
for distribution of-land called the soldiery when and
κἀνταῦθα Κάτων ἐνιστάμενος ἐξέκρουσε τὸν νόμον,
here-too Cato opposing defeated the law
οὕτω Κλωδίου τε περιείχετο, τοῦ τότε θρασυτάτου τῶν
thus Clodius both he-clung-to the then most-audacious of-the
δημαγωγῶν, καὶ Καίσαρα προσήγετο, τρόπον τινὰ Κάτωνος
demagogues and Caesar won-over in-a-way some Cato
αὐτοῦ παρασχόντος ἀρχήν. ὁ γὰρ Καῖσαρ ἀπὸ τῆς ἐν
himself having-furnished the-beginning — for Caesar from the in
Ἰβηρίᾳ στρατηγίας ἐπανήκων ἅμα μὲν ὑπατείαν ἐβούλετο
Iberia praetorship returning at-once indeed the-consulship wished
παραγγέλλειν, ἅμα δὲ ᾔτει θρίαμβον. ἐπεὶ δὲ κατὰ
to-canvass-for at-once and asked-for a-triumph since and by
νόμον ἔδει τοὺς μὲν ἀρχὴν μετιόντας παρεῖναι, τοὺς
law it-was-necessary those indeed office seeking to-be-present those
δὲ μέλλοντας εἰσελαύνειν θρίαμβον ἔξω τείχους ὑπομένειν,
and about to-celebrate a-triumph outside the-wall to-wait

ἠξίου παρὰ τῆς βουλῆς αὐτῷ δοθῆναι δι᾽ ἑτέρων αἰτεῖσθαι
he-asked from the senate for-him to-be-granted through others to-seek
τὴν ἀρχήν. βουλομένων δὲ πολλῶν ἀντέλεγεν ὁ Κάτων·
the office wishing and many spoke-against(-it) — Cato
ὡς δὲ ᾔσθετο χαριζομένους τῷ Καίσαρι, λέγων ὅλην
when and he-perceived(-them) gratifying — Caesar speaking whole
κατανάλωσε τὴν ἡμέραν καὶ τὴν βουλὴν οὕτως ἐξέκρουσε.
he-used-up the day and the senate thus foiled
χαίρειν οὖν ἐάσας τὸν θρίαμβον ὁ Καῖσαρ εἰσελθὼν εὐθὺς
to-fare-well then having-let the triumph — Caesar having-entered at-once
εἶχετο Πομπηΐου καὶ τῆς ὑπατείας. ἀποδειχθεὶς δὲ ὕπατος
held-to Pompey and the consulship having-been-appointed and consul
τήν τε Ἰουλίαν ἐνεγγύησεν αὐτῷ, καὶ συστάντες ἤδη μετ᾽
— both Julia he-betrothed to-him and having-combined already with
ἀλλήλων ἐπὶ τὴν πόλιν ὁ μὲν εἰσέφερε νόμους τοῖς πένησι
each-other against the city the one introduced laws to-the poor
κληρουχίαν καὶ νομὴν χώρας διδόντας, ὁ δὲ παρῆν
allotment and distribution of-land giving the other was-present
τοῖς νόμοις βοηθῶν. οἱ δὲ περὶ Λεύκολλον καὶ Κικέρωνα
the laws helping those and around Lucullus and Cicero
Βύβλῳ τῷ ἑτέρῳ τῶν ὑπάτων συντάξαντες ἑαυτοὺς
with-Bibulus the other of-the consuls having-ranged themselves
ἀντέπραττον, μάλιστα δὲ Κάτων, ἤδη μὲν ὑφορώμενος
opposed most and Cato already indeed suspecting
τὴν Καίσαρος καὶ Πομπηΐου φιλίαν καὶ σύστασιν ἐπ᾽ οὐδενὶ
the of-Caesar and of-Pompey friendship and alliance on no
δικαίῳ γεγενημένην, φοβεῖσθαι δὲ φάσκων οὐ τὴν νομὴν
just(-ground) having-arisen to-fear and saying not the distribution
τῆς χώρας, ἀλλ᾽ ὃν ἀντὶ ταύτης ἀπαιτήσουσι
of-the land but(-the-pay) which in-return-for this will-demand
μισθὸν οἱ χαριζόμενοι καὶ δελεάζοντες τὸ πλῆθος.
as-wages those gratifying and baiting the multitude

Caesar and Pompey force the land law through, pouring dung on Bibulus; persuaded by Cicero, Cato swears the oath last but for Favonius. Dragged to prison for opposing the Campanian law, he is freed by a tribune Caesar sends. Cato warns that Caesar's Gallic command seats a tyrant. Clodius, to be rid of him, sends him to annex Cyprus; Cato advises Cicero to yield to the times. At Rhodes he receives Ptolemy of Egypt seated and urges him home.

Ὡς δὲ ταῦτα λέγων τήν τε βουλὴν ὁμόψηφον εἶχε, καὶ 32
when and these-things saying the both senate of-one-vote he-had and
τῶν ἐκτὸς ἀνθρώπων οὐκ ὀλίγοι παρίσταντο δυσχεραίνοντες
of-the outside people not few stood-by(-him) resenting
τὴν ἀτοπίαν τοῦ Καίσαρος· ἃ γὰρ οἱ θρασύτατοι
the outrageousness — of-Caesar what for the most-audacious
δήμαρχοι καὶ ὀλιγωρότατοι πρὸς χάριν ἐπολιτεύοντο τῶν
tribunes and most-contemptuous for favor practiced of-the
πολλῶν, ταῦτα ἀπ᾽ ἐξουσίας ὑπατικῆς, αἰσχρῶς καὶ
many these-things with authority consular shamefully and
ταπεινῶς ὑποδυόμενος τὸν δῆμον, ἔπραττε· φοβηθέντες
abjectly courting the people he-did having-feared
οὖν ἐχώρουν διὰ βίας, καὶ πρῶτον μὲν αὐτῷ τῷ
then they-proceeded through violence and first indeed himself —
Βύβλῳ καταβαίνοντι κοπρίων ἐπεσκεδάσθη κόφινος, ἔπειτα
on-Bibulus coming-down of-dung was-poured a-basket then
τοῖς ῥαβδούχοις προσπεσόντες αὐτοῦ κατέκλασαν τὰς
on-the lictors having-fallen his they-broke the
ῥάβδους· τέλος δὲ καὶ βελῶν φερομένων καὶ πολλῶν
fasces finally and also missiles flying and many
συντιτρωσκομένων ἔφυγον ἐξ ἀγορᾶς δρόμῳ μὲν οἱ λοιποὶ
being-wounded fled from forum at-a-run indeed the rest
πάντες, ἔσχατος δὲ Κάτων ἀπῄει βάδην, μεταστρεφόμενος
all last and Cato went-off at-a-walk turning-round

καὶ μαρτυρόμενος τοὺς πολίτας. οὐ μόνον οὖν τὴν διανομὴν
and calling-to-witness the citizens not only then the distribution
ἐκύρωσαν, ἀλλὰ καὶ προσεψηφίσαντο τὴν σύγκλητον ὀμόσαι
they-ratified but also voted-in-addition the senate to-swear
πᾶσαν ἢ μὴν ἐπιβεβαιώσειν τὸν νόμον, καὶ βοηθήσειν
all verily indeed to-uphold the law and to-help
ἄν τις τἀναντία πράττῃ, μεγάλα τάξαντες ἐπιτίμια κατὰ
if anyone the-opposite does great having-fixed penalties against
τῶν μὴ ὀμοσάντων. ὤμνυσαν οὖν ἅπαντες ἐξ ἀνάγκης, τὸ
those not having-sworn swore then all of necessity the
Μετέλλου τοῦ παλαιοῦ πάθος ἐν νῷ λαμβάνοντες, ὃν
of-Metellus the old fate in mind taking whom
εἰς νόμον ὅμοιον ὀμόσαι μὴ θελήσαντα περιεῖδεν ὁ δῆμος
to a-law similar to-swear not having-wished had-allowed the people
ἐκπεσόντα φυγῇ τῆς Ἰταλίας. διὸ καὶ τὸν Κάτωνα
driven in-exile — from-Italy wherefore also — Cato
πολλὰ μὲν αἱ γυναῖκες οἴκοι δακρύουσαι καθικέτευον
much indeed the women at-home weeping besought
εἶξαι καὶ ὀμόσαι, πολλὰ δὲ οἱ φίλοι καὶ συνήθεις. ὁ
to-yield and to-swear much and the friends and intimates the(-one)
δὲ μάλιστα συμπείσας καὶ ἀγαγὼν ἐπὶ τὸν ὅρκον ἦν
and most having-persuaded and having-brought to the oath was
Κικέρων ὁ ῥήτωρ, παραινῶν καὶ διδάσκων ὡς τάχα μὲν
Cicero the orator advising and teaching that perhaps indeed
οὐδὲ δίκαιόν ἐστι τοῖς ἐγνωσμένοις κοινῇ μόνον οἴεσθαι
not-even just it-is to-the decided in-common alone to-think
δεῖν ἀπειθεῖν, ἐν δὲ ἀδυνάτῳ τῷ μεταστῆσαί τι
it-necessary to-disobey in and impossible the to-change anything
τῶν γεγονότων ἀφειδεῖν ἑαυτοῦ παντάπασιν ἀνόητον καὶ
of-the done not-to-spare oneself altogether senseless and
μανικόν· ἔσχατον δὲ κακῶν, εἰ δι' ἣν ἅπαντα πράττει
mad extreme and of-evils if for which all-things he-does

πόλιν ἀφεὶς καὶ προέμενος τοῖς ἐπιβουλεύουσιν
the-city having-abandoned and having-given-up to-the plotters
ὥσπερ ἄσμενος ἀπαλλάξεται τῶν ὑπὲρ αὐτῆς ἀγώνων·
as-if gladly he-will-be-rid of-the for her struggles
καὶ γὰρ εἰ μὴ Κάτων τῆς Ῥώμης, ἀλλ' ἡ Ῥώμη δεῖται
and for if not Cato — of-Rome but — Rome needs
Κάτωνος, δέονται δὲ καὶ οἱ φίλοι πάντες· ὧν αὐτὸν
Cato need and also the friends all of-whom himself
εἶναι πρῶτον ὁ Κικέρων ἔλεγεν, ἐπιβουλευόμενον ὑπὸ
to-be first — Cicero said being-plotted-against by
Κλωδίου διὰ δημαρχίας ἄντικρυς ἐπ' αὐτὸν βαδίζοντος.
Clodius through tribunate straight against him marching
ὑπὸ τούτων φασὶ καὶ τοιούτων τὸν Κάτωνα λόγων καὶ
by these they-say and such — Cato speeches and
δεήσεων μαλασσόμενον οἴκοι καὶ κατ' ἀγορὰν ἐκβιασθῆναι
entreaties being-softened at-home and in forum to-have-been-forced
μόλις, καὶ προσελθεῖν πρὸς τὸν ὅρκον ἔσχατον ἁπάντων
barely and to-have-come to the oath last of-all
πλὴν ἑνὸς Φαωνίου τῶν φίλων καὶ συνήθων.
except one Favonius of-the friends and intimates
Ἐπαρθεὶς οὖν ὁ Καῖσαρ ἄλλον εἰσέφερε νόμον, τὴν 33
elated then — Caesar another introduced law —
Καμπανίαν σχεδὸν ὅλην προσκατανέμοντα τοῖς ἀπόροις
Campania almost whole distributing-besides to-the needy
καὶ πένησιν. ἀντέλεγε δὲ οὐδεὶς πλὴν τοῦ Κάτωνος.
and poor spoke-against and nobody except — Cato
καὶ τοῦτον ἀπὸ τοῦ βήματος ὁ Καῖσαρ εἷλκεν εἰς
and this-one from the tribunal — Caesar dragged to
δεσμωτήριον, οὐδέν τι μᾶλλον ὑφιέμενον τῆς παρρησίας,
prison nothing at-all more abating of-the frankness
ἀλλ' ἐν τῷ βαδίζειν ἅμα περὶ τοῦ νόμου διαλεγόμενον
but in the walking at-once about the law discoursing

καὶ παραινοῦντα παύσασθαι τοιαῦτα πολιτευομένους.
and urging to-stop such-politics practicing
ἐπηκολούθει δὲ ἡ βουλὴ μετὰ κατηφείας, καὶ τοῦ δήμου
followed and the senate with dejection and of-the people
τὸ βέλτιστον ἀγανακτοῦν σιωπῇ καὶ ἀχθόμενον, ὥστε τὸν
the best(-part) indignant in-silence and vexed so-that —
Καίσαρα μὴ λανθάνειν βαρέως φέροντας. ἀλλὰ φιλονεικῶν
Caesar not to-escape-notice heavily bearing(-it) but being-contentious
καὶ περιμένων ὑπὸ τοῦ Κάτωνος ἐπίκλησιν γενέσθαι
and waiting by — Cato an-appeal to-be-made
καὶ δέησιν προῆγεν. ἐπεὶ δὲ ἐκεῖνος ἦν δῆλος οὐδὲ
and an-entreaty he-led(-him)-on when and he was plain not-even
μελλήσων τι ποιεῖν, ἡττηθεὶς ὑπὸ αἰσχύνης καὶ ἀδοξίας
intending anything to-do overcome by shame and disgrace
ὁ Καῖσαρ αὐτός τινα τῶν δημάρχων ὑφῆκε πείσας
— Caesar himself one of-the tribunes put-up having-persuaded
ἐξελέσθαι τὸν Κάτωνα. τοῖς μέντοι νόμοις ἐκείνοις καὶ
to-rescue — Cato with-the however laws those and
ταῖς χάρισι τιθασεύσαντες τὸν ὄχλον, ἐψηφίσαντο Καίσαρι
the favors having-tamed the mob they-voted for-Caesar
μὲν Ἰλλυριῶν καὶ Γαλατίας ἀρχὴν ἁπάσης καὶ τέσσαρα
indeed of-Illyrians and Gaul the-command all and four
τάγματα στρατιᾶς εἰς πενταετίαν, προλέγοντος Κάτωνος
legions of-army for five-years foretelling Cato
ὡς εἰς ἀκρόπολιν τὸν τύραννον αὐτοὶ ταῖς ἑαυτῶν
that into the-citadel the tyrant they with-the their-own
ψήφοις ἱδρύουσι, Πόπλιον δὲ Κλώδιον ἐκ πατρικίων
votes are-establishing Publius and Clodius from patricians
εἰς δημοτικοὺς παρανόμως μεταστήσαντες ἀπέδειξαν
to plebeians illegally having-transferred they-appointed
δήμαρχον, ἐπὶ μισθῷ τῇ Κικέρωνος ἐξελάσει πάντα πρὸς
tribune on wages the of-Cicero banishment everything for

χάριν ἐκείνοις πολιτευόμενον, ὑπάτους δὲ Πείσωνά τε
favor for-them carrying-out consuls and Piso both
Καλπούρνιον, ὃς ἦν πατὴρ τῆς Καίσαρος γυναικός, καὶ
Calpurnius who was father of-the of-Caesar wife and
Γαβίνιον Αὖλον, ἐκ τῶν Πομπηΐου κόλπων ἄνθρωπον,
Gabinius Aulus from the of-Pompey bosom a-man
ὥς φασιν οἱ τὸν τρόπον αὐτοῦ καὶ τὸν βίον εἰδότες.
as say those the character his and the life knowing
Ἀλλὰ καίπερ οὕτως τὰ πράγματα κατειληφότες ἐγκρατῶς, 34
but although thus the affairs having-seized firmly
καὶ τὸ μὲν χάριτι τῆς πόλεως, τὸ δὲ φόβῳ μέρος ὑφ'
and the one by-favor of-the city the other by-fear part under
ἑαυτοὺς ἔχοντες, ὅμως ἐφοβοῦντο τὸν Κάτωνα. καὶ γὰρ
themselves having nevertheless they-feared — Cato and for
ἐν οἷς περιῆσαν αὐτοῦ τό γε χαλεπῶς καὶ μετὰ
in what they-prevailed-over him the at-least with-difficulty and with
πόνων καὶ μὴ χωρὶς αἰσχύνης, ἀλλ' ἐλεγχομένους βιάζεσθαι
toils and not without shame but being-exposed to-force
μόλις ἀνιαρὸν ἦν καὶ πρόσαντες. ὁ δὲ Κλώδιος οὐδὲ
barely painful was and uphill — and Clodius not-even
Κικέρωνα καταλύσειν ἤλπιζε Κάτωνος παρόντος, ἀλλὰ
Cicero to-overthrow hoped Cato being-present but
τοῦτο διαμηχανώμενος πρῶτον, ὡς εἰς ἀρχὴν κατέστη,
this contriving first when into office he-was-installed
μετεπέμψατο τὸν Κάτωνα καὶ λόγους αὐτῷ προσήνεγκεν ὡς
sent-for — Cato and proposals to-him made that
πάντων ἐκεῖνον ἡγούμενος ἄνδρα Ῥωμαίων καθαρώτατον
of-all him considering man of-Romans purest
ἔργῳ διδόναι πίστιν ἕτοιμός ἐστι· πολλῶν γὰρ αἰτουμένων
in-deed to-give proof ready he-is many for asking-for
τὴν ἐπὶ Κύπρον καὶ Πτολεμαῖον ἀρχὴν καὶ δεομένων
the to Cyprus and Ptolemy command and begging

ἀποσταλῆναι μόνον ἄξιον ἐκεῖνον ἡγεῖσθαι καὶ διδόναι
to-be-sent alone worthy him to-consider(-he-said) and to-give
τὴν χάριν ἡδέως. ἀνακραγόντος δὲ τοῦ Κάτωνος ὡς ἐνέδρα
the favor gladly having-cried-out and — of-Cato that a-trap
τὸ πρᾶγμα καὶ προπηλακισμός, οὐ χάρις ἐστίν, ὑπερηφάνως
the thing and an-insult not a-favor is arrogantly
ὁ Κλώδιος καὶ ὀλιγώρως, "Οὐκοῦν," εἶπεν, "εἰ μὴ χάριν
— Clodius and contemptuously then he-said if not gratitude
ἔχεις, ἀνιώμενος πλεύσῃ," καὶ προσελθὼν εὐθὺς εἰς τὸν
you-have being-vexed you-will-sail and having-gone at-once to the
δῆμον ἐκύρωσε νόμῳ τὴν ἔκπεμψιν τοῦ Κάτωνος. ἐξιόντι
people he-ratified by-law the sending-out — of-Cato to-him-going-out
δὲ οὐ ναῦν, οὐ στρατιώτην, οὐχ ὑπηρέτην ἔδωκε πλὴν ἢ δύο
and not a-ship not a-soldier not an-attendant he-gave except — two
γραμματεῖς μόνον, ὧν ὁ μὲν κλέπτης καὶ παμπόνηρος,
clerks only of-whom the one a-thief and utter-villain
ἄτερος δὲ Κλωδίου πελάτης. ὡς δὲ μικρὸν ἔργον αὐτῷ
the-other and of-Clodius a-client as and a-small task to-him
Κύπρον καὶ Πτολεμαῖον ἀναθείς, ἔτι καὶ Βυζαντίων
Cyprus and Ptolemy having-assigned besides also of-Byzantines
φυγάδας κατάγειν προσέταξε, βουλόμενος ὅτι πλεῖστον
exiles to-restore he-ordered wishing as much
χρόνον ἐκποδὼν ἄρχοντος αὐτοῦ γενέσθαι τὸν Κάτωνα.
time out-of-the-way while-holding-office he to-be — Cato
35 Τοιαύτῃ δὲ καταληφθεὶς ἀνάγκῃ Κικέρωνι μὲν ἐλαυνομένῳ
by-such and seized necessity to-Cicero indeed being-driven-out
παρῄνεσε μὴ στασιάσαι μηδὲ εἰς ὅπλα καὶ φόνους
he-advised not to-raise-faction nor into arms and slaughter
τὴν πόλιν ἐμβαλεῖν, ἀλλ' ὑπεκστάντα τῷ καιρῷ πάλιν
the city to-plunge but having-yielded to-the time again
γενέσθαι σωτῆρα τῆς πατρίδος, Κανίδιον δέ τινα τῶν
to-become savior of-the fatherland Canidius and a of-the

φίλων προπέμψας εἰς Κύπρον ἔπειθε τὸν Πτολεμαῖον
friends having-sent-ahead to Cyprus he-tried-to-persuade — Ptolemy
ἄνευ μάχης εἴκειν, ὡς οὔτε χρημάτων οὔτε τιμῆς
without battle to-yield as neither of-money nor of-honor
ἐνδεᾶ βιωσόμενον· ἱερωσύνην γὰρ αὐτῷ τῆς ἐν Πάφῳ
in-want going-to-live a-priesthood for to-him of-the at Paphos
θεοῦ δώσειν τὸν δῆμον. αὐτὸς δὲ διέτριβεν ἐν Ῥόδῳ
goddess would-give the people he and stayed in Rhodes
παρασκευαζόμενος ἅμα καὶ τὰς ἀποκρίσεις ἀναμένων.
preparing at-once and the answers awaiting
Ἐν δὲ τούτῳ Πτολεμαῖος ὁ Αἰγύπτου βασιλεὺς ὑπ᾽ ὀργῆς
in and this Ptolemy the of-Egypt king from anger
τινος καὶ διαφορᾶς πρὸς τοὺς πολίτας ἀπολελοιπὼς μὲν
some and difference with the citizens having-left indeed
Ἀλεξάνδρειαν, εἰς δὲ Ῥώμην πλέων, ὡς Πομπηΐου καὶ
Alexandria to and Rome sailing as Pompey and
Καίσαρος αὖθις αὐτὸν μετὰ δυνάμεως καταξόντων, ἐντυχεῖν
Caesar again him with force going-to-restore to-meet
τῷ Κάτωνι βουληθεὶς προσέπεμψεν, ἐλπίζων ἐκεῖνον ὡς
— Cato wishing sent-to(-him) hoping him to
αὐτὸν ἥξειν. ὁ δὲ Κάτων ἐτύγχανε μὲν ὢν τότε περὶ
him to-come — and Cato happened indeed being then about
κοιλίας κάθαρσιν, ἥκειν δὲ τὸν Πτολεμαῖον, εἰ βούλοιτο,
of-the-bowels a-purging to-come and — Ptolemy if he-wished
κελεύσας πρὸς αὐτόν, ὡς δὲ ἦλθεν, οὔτε ἀπαντήσας οὔτε
having-bidden to him when and he-came neither having-met(-him) nor
ὑπεξαναστάς, ἀλλ᾽ ὡς ἕνα τῶν ἐπιτυχόντων ἀσπασάμενος
having-risen but as one of-the chance-comers having-greeted(-him)
καὶ καθίσαι κελεύσας, πρῶτον αὐτοῖς τούτοις διετάραξε,
and to-sit having-bidden first by-very these he-disconcerted(-him)
θαυμάζοντα πρὸς τὸ δημοτικὸν καὶ λιτὸν αὐτοῦ τῆς
wondering beside the plain and simple of-his of-the

κατασκευῆς τὴν ὑπεροψίαν καὶ βαρύτητα τοῦ ἤθους. ἐπεὶ
equipment the haughtiness and severity of-the character when
δὲ καὶ διαλέγεσθαι περὶ τῶν καθ' αὑτὸν ἀρξάμενος
and also to-converse about the(-affairs) concerning himself having-begun
ἠκροάσατο λόγων νοῦν πολὺν ἐχόντων καὶ παρρησίαν,
he-heard words sense much having and frankness
ἐπιτιμῶντος αὐτῷ τοῦ Κάτωνος καὶ διδάσκοντος ὅσην
rebuking him — of-Cato and teaching how-much
εὐδαιμονίαν ἀπολιπὼν ὅσαις ἑαυτὸν ὑποτίθησι λατρείαις
happiness having-left to-how-many himself he-subjects servitudes
καὶ πόνοις καὶ δωροδοκίαις καὶ πλεονεξίαις τῶν ἐν Ῥώμῃ
and toils and briberies and greed of-the in Rome
δυνατῶν, οὓς μόλις ἐξαργυρισθεῖσαν ἐμπλήσειν Αἴγυπτον,
powerful whom barely turned-into-money would-satisfy Egypt
συμβουλεύοντος δὲ πλεῖν ὀπίσω καὶ διαλλάττεσθαι τοῖς
advising and to-sail back and to-be-reconciled with-the
πολίταις, αὐτοῦ δὲ καὶ συμπλεῖν καὶ συνδιαλλάττειν
citizens himself and both to-sail-with(-him) and to-help-reconcile
ἑτοίμως ἔχοντος, οἷον ἐκ μανίας τινὸς ἢ παρακοπῆς
ready being as-if from madness some or derangement
ὑπὸ τῶν λόγων ἔμφρων καθιστάμενος, καὶ κατανοῶν τὴν
by the words sane being-restored and perceiving the
ἀλήθειαν καὶ τὴν σύνεσιν τοῦ ἀνδρός, ὥρμησε μὲν χρῆσθαι
truth and the wisdom of-the man he-was-eager indeed to-use
τοῖς ἐκείνου λογισμοῖς, ἀνατραπεὶς δὲ ὑπὸ τῶν φίλων αὖθις
the his reasonings overturned but by the friends again
ἅμα τῷ πρῶτον ἐν Ῥώμῃ γενέσθαι καὶ θύραις ἑνὸς
at-once with-the first in Rome to-be and at-the-doors of-one
ἄρχοντος προσελθεῖν ἔστενε τὴν αὑτοῦ κακοβουλίαν, ὡς
magistrate to-come he-lamented the his-own ill-counsel as
οὐκ ἀνδρὸς ἀγαθοῦ λόγων, θεοῦ δὲ μαντείας καταφρονήσας.
not of-a-man good words of-a-god but oracle having-despised

After Ptolemy of Cyprus poisons himself, Cato auctions the royal treasure himself, trusting no one and offending his friend Munatius, whose quarrel and reconciliation Plutarch tells. He ships nearly seven thousand talents in buoyed jars but loses his accounts. Rome welcomes him at the Tiber, the senate offers a special praetorship, which he declines, and he breaks with Cicero by defending Clodius' acts as tribune.

Ὁ δὲ ἐν Κύπρῳ Πτολεμαῖος εὐτυχίᾳ τινὶ τοῦ Κάτωνος 36
— *and in Cyprus Ptolemy by-good-fortune some — of-Cato*
ἑαυτὸν φαρμάκοις ἀπέκτεινε. πολλῶν δὲ χρημάτων
himself with-poison killed much and money
ἀπολελεῖφθαι λεγομένων, αὐτὸς μὲν ἔγνω πλεῖν εἰς
to-have-been-left being-said he indeed resolved to-sail to
Βυζαντίους, πρὸς δὲ τὴν Κύπρον ἐξέπεμψε τὸν ἀδελφιδοῦν
Byzantines to and — Cyprus he-sent the nephew
Βροῦτον, οὐ πάνυ τι πιστεύων τῷ Κανιδίῳ. τοὺς δὲ
Brutus not very at-all trusting — Canidius the and
φυγάδας διαλλάξας καὶ καταλιπὼν ἐν ὁμονοίᾳ τὸ Βυζάντιον,
exiles having-reconciled and having-left in concord — Byzantium
οὕτως εἰς Κύπρον ἔπλευσεν. οὔσης δὲ πολλῆς καὶ βασιλικῆς
so to Cyprus he-sailed being and much and royal
ἐν ἐκπώμασι καὶ τραπέζαις καὶ λίθοις καὶ πορφύραις
in cups and tables and stones and purples
κατασκευῆς, ἣν ἔδει πραθεῖσαν ἐξαργυρισθῆναι,
property which it-was-necessary sold to-be-turned-into-money
πάντα βουλόμενος ἐξακριβοῦν καὶ πάντα κατατείνειν εἰς
all wishing to-make-exact and all to-strain to
ἄκραν τιμὴν καὶ πᾶσιν αὐτὸς παρεῖναι καὶ προσάγειν τὸν
the-highest price and at-all himself to-be-present and to-bring the
ἔσχατον ἐκλογισμόν, οὐδὲ τοῖς ἐθάσι τῆς ἀγορᾶς ἐπίστευεν,
utmost calculation not-even to-the habitués of-the market he-trusted

ἀλλὰ ὑπονοῶν ὁμοῦ πάντας, ὑπηρέτας, κήρυκας, ὠνητάς,
but suspecting together all attendants heralds buyers
φίλους, τέλος αὐτὸς ἰδίᾳ τοῖς ὠνουμένοις διαλεγόμενος καὶ
friends finally he privately with-the buyers conversing and
προσβιβάζων ἕκαστον, οὕτω τὰ πλεῖστα τῶν ἀγορασμάτων
urging-on each thus the most of-the wares
ἐπώλει. διὸ τοῖς τε ἄλλοις φίλοις ὡς ἀπιστῶν
he-sold wherefore the both other friends as distrusting
προσέκρουσε, καὶ τὸν συνηθέστατον ἁπάντων Μουνάτιον
he-offended and the most-intimate of-all Munatius
εἰς ὀργὴν ὀλίγου δεῖν ἀνήκεστον γενομένην ἐνέβαλεν, ὥστε
into anger of-little to-lack incurable having-become threw so-that
καὶ Καίσαρι γράφοντι λόγον κατὰ τοῦ Κάτωνος πικροτάτην
even to-Caesar writing a-speech against — Cato most-bitter
τοῦτο τὸ μέρος τῆς κατηγορίας διατριβὴν παρασχεῖν.
this the part of-the accusation material to-furnish

37 Ὁ μέντοι Μουνάτιος οὐκ ἀπιστίᾳ τοῦ Κάτωνος, ἀλλ' ἐκείνου
— however Munatius not from-distrust — of-Cato but his
μὲν ὀλιγωρίᾳ πρὸς αὑτόν, αὐτοῦ δέ τινι ζηλοτυπίᾳ
indeed from-neglect toward himself his-own and from-some jealousy
πρὸς τὸν Κανίδιον ἱστορεῖ γενέσθαι τὴν ὀργήν. καὶ γὰρ
toward — Canidius records to-have-arisen the anger and for
αὐτὸς σύγγραμμα περὶ τοῦ Κάτωνος ἐξέδωκεν, ᾧ μάλιστα
he a-treatise about — Cato published which most
Θρασέας ἐπηκολούθησε. λέγει δὲ ὕστερος μὲν εἰς Κύπρον
Thrasea followed he-says and later indeed to Cyprus
ἀφικέσθαι καὶ λαβεῖν παρημελημένην ξενίαν, ἐλθὼν
to-have-arrived and to-have-got neglected lodging having-come
δὲ ἐπὶ θύρας ἀπωσθῆναι, σκευωρουμένου τι τοῦ
and to doors to-have-been-pushed-away being-busy-about something —
Κάτωνος οἴκοι σὺν τῷ Κανιδίῳ, μεμψάμενος δὲ μετρίως
of-Cato at-home with — Canidius having-complained and moderately

οὐ μετρίας τυχεῖν ἀποκρίσεως, ὅτι κινδυνεύει τὸ λίαν
not moderate to-have-got an-answer that risks the too-much
φιλεῖν, ὥς φησι Θεόφραστος, αἴτιον τοῦ μισεῖν γίνεσθαι
loving as says Theophrastus a-cause of-the hating to-become
πολλάκις· "Ἐπεὶ καὶ σύ," φάναι, "τῷ μάλιστα φιλεῖν
often since also you to-have-said by-the most loving
ἧττον οἰόμενος ἢ προσήκει τιμᾶσθαι χαλεπαίνεις. Κανιδίῳ
less thinking than is-fitting to-be-honored are-annoyed Canidius
δὲ καὶ δι' ἐμπειρίαν χρῶμαι καὶ διὰ πίστιν ἑτέρων
and also through experience I-use and through trustworthiness than-others
μᾶλλον, ἐξ ἀρχῆς μὲν ἀφιγμένῳ, καθαρῷ δὲ φαινομένῳ."
more from beginning indeed having-come clean and appearing
ταῦτα μέντοι μόνον αὐτῷ μόνῳ διαλεχθέντα τὸν Κάτωνα
these-things however alone to-him alone having-said — Cato
πρὸς τὸν Κανίδιον ἐξενεγκεῖν. αἰσθόμενος οὖν αὐτὸς οὔτε
to — Canidius to-have-divulged having-perceived then he neither
ἐπὶ δεῖπνον ἔτι φοιτᾶν οὔτε σύμβουλος ὑπακούειν
to dinner any-longer to-go nor as-adviser to-obey
καλούμενος. ἀπειλοῦντος δὲ τοῦ Κάτωνος, ὥσπερ εἰώθασι
being-summoned threatening and — of-Cato as are-accustomed
τῶν ἀπειθούντων, ἐνέχυρα λήψεσθαι, μηδὲν φροντίσας
from-the disobedient pledges to-take nothing having-cared
ἐκπλεῦσαι καὶ πολὺν χρόνον ἐν ὀργῇ διατελεῖν· εἶτα
to-have-sailed-away and long time in anger to-have-continued then
τῆς Μαρκίας (ἔτι γὰρ συνῴκει τῷ Κάτωνι) διαλεχθείσης,
— of-Marcia still for she-lived-with — Cato having-spoken
τυχεῖν μὲν ὑπὸ Βάρκα κεκλημένους ἐπὶ δεῖπνον, εἰσελθόντα
to-happen indeed by Barca invited to dinner having-come-in
δὲ ὕστερον τὸν Κάτωνα, τῶν ἄλλων κατακειμένων,
and later — Cato the others reclining
ἐρωτᾶν ὅπου κατακλιθείη. τοῦ δὲ Βάρκα κελεύσαντος ὅπου
to-ask where he-should-recline — and of-Barca having-bidden where

βούλεται, περιβλεψάμενον εἰπεῖν ὅτι παρὰ Μουνάτιον·
he-wishes having-looked-around to-say that beside Munatius
καὶ περιελθόντα πλησίον αὐτοῦ κατακλιθῆναι, πλέον δὲ
and having-gone-round near him to-recline more but
μηθὲν φιλοφρονήσασθαι παρὰ τὸ δεῖπνον. ἀλλὰ πάλιν τῆς
nothing to-show-friendliness during the dinner but again —
Μαρκίας δεομένης τὸν μὲν Κάτωνα γράψαι πρὸς αὐτόν,
of-Marcia begging — indeed Cato to-write to him
ὡς ἐντυχεῖν τι βουλόμενον, αὐτὸς δὲ ἥκειν ἕωθεν
that to-meet something wishing he and to-come at-dawn
εἰς τὴν οἰκίαν καὶ ὑπὸ τῆς Μαρκίας κατασχεθῆναι μέχρι
to the house and by — Marcia to-be-detained until
πάντες ἀπηλλάγησαν, οὕτω δὲ εἰσελθόντα τὸν Κάτωνα
all departed thus and having-come-in — Cato
καὶ περιβαλόντα τὰς χεῖρας ἀμφοτέρας ἀσπάσασθαι καὶ
and having-thrown-around the arms both to-embrace(-him) and
φιλοφρονεῖσθαι. ταῦτα μὲν οὖν οὐχ ἧττον οἰόμενοι τῶν
to-show-kindness these-things indeed then not less thinking than-the
ὑπαίθρων καὶ μεγάλων πράξεων πρὸς ἔνδειξιν ἤθους καὶ
public and great actions for display of-character and
κατανόησιν ἔχειν τινὰ σαφήνειαν ἐπὶ πλέον διήλθομεν.
understanding to-have some clearness at more-length we-have-gone-through

38 Τῷ δὲ Κάτωνι συνήχθη μὲν ἀργυρίου τάλαντα μικρὸν
— and for-Cato were-collected indeed of-silver talents a-little
ἑπτακισχιλίων ἀποδέοντα, δεδιὼς δὲ τοῦ πλοῦ τὸ μῆκος
of-seven-thousand falling-short fearing and of-the voyage the length
ἀγγεῖα πολλὰ κατασκευάσας, ὧν ἕκαστον ἐχώρει δύο
vessels many having-made of-which each held two
τάλαντα καὶ δραχμὰς πεντακοσίας, καλώδιον ἑκάστῳ
talents and drachmas five-hundred a-cord to-each
μακρὸν προσήρτησεν, οὗ τῇ ἀρχῇ προσείχετο φελλὸς
long he-fastened of-which to-the end was-attached a-cork

εὐμεγέθης, ὅπως, εἰ ῥαγείη τὸ πλοῖον, ἔχων διὰ
large so-that if were-wrecked the ship having through
βυθοῦ τὸ ἄρτημα σημαίνοι τὸν τόπον. τὰ μὲν οὖν
deep-water the float it-might-mark the place the indeed then
χρήματα πλὴν ὀλίγων τινῶν ἀσφαλῶς διεκομίσθη, λόγους
money except few some safely was-conveyed accounts
δὲ πάντων ὧν διῴκησε γεγραμμένους ἐπιμελῶς ἔχων ἐν
but of-all that he-administered written carefully having in
δυσὶ βιβλίοις οὐδέτερον ἔσωσεν, ἀλλὰ τὸ μὲν ἀπελεύθερος
two books neither he-saved but the one a-freedman
αὐτοῦ κομίζων ὄνομα Φιλάργυρος ἐκ Κεγχρεῶν ἀναχθεὶς
his carrying by-name Philargyrus from Cenchreae having-put-out
ἀνετράπη καὶ συναπώλεσε τοῖς φορτίοις, τὸ δὲ αὐτὸς
was-capsized and lost(-it)-with the cargo the other he
ἄχρι Κερκύρας φυλάξας ἐν ἀγορᾷ κατεσκήνωσε· τῶν
as-far-as Corcyra having-guarded in market-place encamped the
δὲ ναυτῶν διὰ τὸ ῥιγοῦν πυρὰ πολλὰ καιόντων τῆς
and sailors because-of the being-cold fires many burning in-the
νυκτὸς ἥφθησαν αἱ σκηναὶ καὶ τὸ βιβλίον ἠφανίσθη. τοὺς
night caught-fire the tents and the book vanished the
μὲν οὖν ἐχθροὺς καὶ συκοφάντας ἐπιστομιεῖν ἤμελλον οἱ
indeed then enemies and slanderers to-silence were-going the
βασιλικοὶ διοικηταὶ παρόντες, ἄλλως δὲ τῷ Κάτωνι τὸ
royal stewards being-present otherwise but — for-Cato the
πρᾶγμα δηγμὸν ἤνεγκεν. οὐ γὰρ εἰς πίστιν ὑπὲρ αὑτοῦ
matter a-sting brought not for for proof on-behalf-of himself
τοὺς λόγους, ἀλλὰ παράδειγμα τοῖς ἄλλοις ἀκριβείας
the accounts but as-an-example to-the others of-exactness
ἐξενεγκεῖν φιλοτιμούμενος ἐνεμεσήθη.
to-bring-forth being-ambitious he-met-nemesis

39 Περαιωθεὶς δὲ ταῖς ναυσὶν οὐκ ἔλαθε τοὺς
having-crossed and with-the ships not he-escaped-notice-of the
Ῥωμαίους, ἀλλὰ πάντες μὲν ἄρχοντες καὶ ἱερεῖς, πᾶσα
Romans but all indeed magistrates and priests all
δὲ ἡ βουλή, πολὺ δὲ τοῦ δήμου μέρος ἀπήντων πρὸς
and the senate great and of-the people part met(-him) at
τὸν ποταμόν, ὥστε τὰς ὄχθας ἀμφοτέρας ἀποκεκρύφθαι
the river so-that the banks both to-be-hidden
καὶ θριάμβου μηδὲν ὄψει καὶ φιλοτιμίᾳ λείπεσθαι τὸν
and of-a-triumph in-nothing in-spectacle and splendor to-fall-short the
ἀνάπλουν αὐτοῦ. καίτοι σκαιὸν ἐνίοις τοῦτο ἐφαίνετο καὶ
sailing-up his and-yet ungracious to-some this appeared and
αὔθαδες, ὅτι τῶν ὑπάτων καὶ τῶν στρατηγῶν παρόντων
self-willed that the consuls and the praetors being-present
οὔτε ἀπέβη πρὸς αὐτοὺς οὔτε ἐπέσχε τὸν πλοῦν, ἀλλὰ
neither he-landed to them nor checked the voyage but
ῥοθίῳ τὴν ὄχθην παρεξελαύνων ἐπὶ νεὼς ἑξήρους βασιλικῆς
with-a-rush the bank driving-past on a-ship six-banked royal
οὐκ ἀνῆκε πρότερον ἢ καθορμίσαι τὸν στόλον εἰς τὸ
not he-stopped before than to-moor the fleet at the
νεώριον. οὐ μὴν ἀλλὰ τῶν χρημάτων παρακομιζομένων
dockyard not indeed but the money being-carried
δι᾽ ἀγορᾶς ὅ τε δῆμος ἐθαύμαζε τὸ πλῆθος, ἥ
through forum the both people wondered-at the amount the
τε βουλὴ συναχθεῖσα μετὰ τῶν πρεπόντων ἐπαίνων
and senate having-been-convened with the fitting praises
ἐψηφίσατο τῷ Κάτωνι στρατηγίαν ἐξαίρετον δοθῆναι
voted — for-Cato a-praetorship extraordinary to-be-given
καὶ τὰς θέας αὐτὸν ἐν ἐσθῆτι περιπορφύρῳ θεάσασθαι.
and the shows him in garment purple-bordered to-watch
ταῦτα μὲν οὖν ὁ Κάτων παρῃτήσατο, Νικίαν δὲ τὸν
these-things indeed then — Cato declined Nicias but the

οἰκονόμον τῶν βασιλικῶν ἐλεύθερον ἔπεισε τὴν βουλὴν
steward of-the royal(-property) free persuaded the senate
ἀφεῖναι, μαρτυρήσας ἐπιμέλειαν καὶ πίστιν. ὑπάτευε δὲ
to-set having-testified-to(-his) diligence and faithfulness was-consul and
Φίλιππος ὁ πατὴρ τῆς Μαρκίας, καὶ τρόπον τινὰ τὸ
Philippus the father — of-Marcia and in-a-way some the
ἀξίωμα τῆς ἀρχῆς καὶ ἡ δύναμις εἰς Κάτωνα περιῆλθεν,
dignity of-the office and the power to Cato came-round
οὐκ ἐλάττονα τοῦ συνάρχοντος δι' ἀρετὴν ἢ δι'
not less the colleague because-of virtue than because-of
οἰκειότητα τοῦ Φιλίππου τῷ Κάτωνι τιμὴν προστιθέντος.
kinship — of-Philippus — to-Cato honor adding
Ἐπεὶ δὲ Κικέρων ἐκ τῆς φυγῆς, ἣν ἔφυγεν ὑπὸ Κλωδίου, 40
when and Cicero from the exile which he-fled by Clodius
κατελθὼν καὶ δυνάμενος μέγα τὰς δημαρχικὰς δέλτους, ἃς
having-returned and having-power greatly the tribunician tablets which
ὁ Κλώδιος ἔθηκεν ἀναγράψας εἰς τὸ Καπιτώλιον, ἀπέσπασε
— Clodius had-set-up having-inscribed on the Capitol tore-down
βίᾳ καὶ καθεῖλε τοῦ Κλωδίου μὴ παρόντος, ἐπὶ τούτοις δὲ
by-force and removed — of-Clodius not being-present on these and
βουλῆς ἀθροισθείσης καὶ τοῦ Κλωδίου κατηγοροῦντος ἔλεγε
a-senate having-been-assembled and — of-Clodius accusing(-him) he-said
παρανόμως τῷ Κλωδίῳ τῆς δημαρχίας γενομένης ἀτελῆ
illegally — for-Clodius the tribunate having-been-held invalid
καὶ ἄκυρα δεῖν εἶναι τὰ τότε πραχθέντα καὶ γραφέντα,
and void ought to-be the then done and decreed
προσέκρουσεν ὁ Κάτων αὐτῷ λέγοντι, καὶ τέλος ἀναστὰς
objected — Cato to-him speaking and finally having-risen
ἔφη τῆς μὲν Κλωδίου πολιτείας μηδὲν ὑγιὲς μηδὲ χρηστὸν
said of-the indeed of-Clodius administration nothing sound nor good
ὅλως νομίζειν, εἰ δὲ ἀναιρεῖ τις ὅσα δημαρχῶν ἔπραξεν,
at-all to-think if but annuls one whatever being-tribune he-did

ἀναιρεῖσθαι πᾶσαν αὐτοῦ τὴν περὶ Κύπρον πραγματείαν καὶ
to-be-annulled all his-own the about Cyprus business and
μὴ γεγονέναι τὴν ἀποστολὴν νόμιμον ἄρχοντος παρανόμου
not to-have-been the mission lawful a-magistrate illegal
ψηφισαμένου· παρανόμως μὲν οὐ δήμαρχον αἱρεθῆναι
having-voted(-it) illegally indeed not tribune to-have-been-elected
τὸν Κλώδιον ἐκ πατρικίων μεταστάντα νόμου διδόντος
— Clodius from patricians having-passed a-law granting(-it)
εἰς δημοτικὸν οἶκον, εἰ δὲ μοχθηρός, ὥσπερ ἄλλοι, γέγονεν
into plebeian house if but wicked like others he-has-been
ἄρχων, αὐτὸν εὐθύνειν τὸν ἀδικήσαντα, μὴ λύειν
magistrate him to-call-to-account the wrongdoer not to-dissolve
τὴν συναδικηθεῖσαν ἀρχὴν εἶναι προσῆκον. ἐκ τούτου δι᾽
the wronged-along-with office to-be fitting from this in
ὀργῆς ὁ Κικέρων ἔσχε τὸν Κάτωνα, καὶ φίλῳ χρώμενος
anger — Cicero held — Cato and as-a-friend treating(-him)
ἐπαύσατο χρόνον πολύν· εἶτα μέντοι διηλλάγησαν.
ceased time long then however they-were-reconciled

X · PRAETOR AGAINST THE TRIUMVIRS

Cato urges Domitius to oppose Pompey and Crassus and is wounded in the ambush on Domitius. Pompey blocks Cato's praetorship by bribery and a false thunderclap. Cato speaks against Trebonius' law until he is dragged off, and warns Pompey that he is taking Caesar on his neck. Elected praetor at last, he presides barefoot, faces down a mob over his decree against bribery, and holds the candidates' pledge on sureties, not money.

41 Ἐκ τούτου Πομπήϊος καὶ Κράσσος ὑπερβαλόντι τὰς Ἄλπεις
from this Pompey and Crassus having-crossed the Alps
Καίσαρι συγγενόμενοι γνώμην ἐποιήσαντο κοινῇ δευτέραν
with-Caesar having-met resolution made jointly a-second

ὑπατείαν μετιέναι, καὶ καταστάντες εἰς αὐτὴν Καίσαρι
consulship to-seek and having-entered upon it for-Caesar
μὲν τῆς ἀρχῆς ἄλλον τοσοῦτον ἐπιψηφίζεσθαι χρόνον,
indeed of-the command another as-much to-vote-in-addition time
αὑτοῖς δὲ τῶν ἐπαρχιῶν τὰς μεγίστας καὶ χρήματα
for-themselves and of-the provinces the greatest and money
καὶ στρατιωτικὰς δυνάμεις. ὅπερ ἦν ἐπὶ νεμήσει
and military forces which-indeed was for distribution
τῆς ἡγεμονίας καὶ καταλύσει τῆς πολιτείας συνωμοσία.
of-the empire and destruction of-the constitution a-conspiracy
πολλῶν δὲ καὶ ἀγαθῶν ἀνδρῶν μετιέναι τὴν ἀρχὴν
many and also good men to-seek the office
τότε παρασκευαζομένων, τοὺς μὲν ἄλλους ὀφθέντες ἐν
then preparing the indeed others having-been-seen in
ταῖς παραγγελίαις ἀπέτρεψαν, μόνον δὲ Λεύκιον Δομίτιον
the canvassings they-deterred alone but Lucius Domitius
Πορκίᾳ συνοικοῦντα τῇ ἀδελφῇ Κάτων ἔπεισε μὴ ἐκστῆναι
to-Porcia married the sister Cato persuaded not to-withdraw
μηδὲ ὑφέσθαι, τοῦ ἀγῶνος οὐ περὶ ἀρχῆς ὄντος, ἀλλὰ
nor to-give-in the contest not about office being but
περὶ τῆς Ῥωμαίων ἐλευθερίας. καὶ μέντοι καὶ λόγος
about the of-Romans freedom and however also a-word
ἐχώρει διὰ τοῦ σωφρονοῦντος ἔτι τῆς πόλεως μέρους,
went through the sane still of-the city part
ὡς οὐ περιοπτέον, εἰς ταὐτὸ τῆς Κράσσου καὶ Πομπηΐου
that not to-be-overlooked into the-same the of-Crassus and of-Pompey
δυνάμεως συνελθούσης, παντάπασιν ὑπέρογκον καὶ βαρεῖαν
power having-come-together altogether excessive and oppressive
τὴν ἀρχὴν γενομένην, ἀλλ᾽ ἀφαιρετέον αὐτῆς τὸν ἕτερον.
the office having-become but to-be-removed from-it the one
καὶ συνίσταντο πρὸς τὸν Δομίτιον παρορμῶντες καὶ
and they-rallied to — Domitius urging and

παραθαρρύνοντες ἀντιλαμβάνεσθαι· πολλοὺς γὰρ αὐτῷ καὶ
encouraging(-him) to-take-part many for for-him even
τῶν σιωπώντων διὰ δέος ἐν ταῖς ψήφοις ὑπάρξειν.
of-those silent through fear in the votes would-be
Τοῦτο δὴ δείσαντες οἱ περὶ τὸν Πομπήϊον ὑφεῖσαν
this indeed having-feared those around — Pompey set
ἐνέδραν τῷ Δομιτίῳ καταβαίνοντι ὄρθριον ὑπὸ λαμπάδων
an-ambush — for-Domitius going-down at-dawn by torches
εἰς τὸ πεδίον. καὶ πρῶτος μὲν ὁ προφαίνων ἐπιστὰς
to the field and first indeed the(-man) carrying-a-light standing-by
τῷ Δομιτίῳ πληγεὶς καὶ πεσὼν ἀπέθανε· μετὰ δὲ
— Domitius struck and having-fallen died after and
τοῦτον ἤδη καὶ τῶν ἄλλων συντιτρωσκομένων ἐγίνετο
this already also the others being-wounded there-was
φυγὴ πλὴν Κάτωνος καὶ Δομιτίου. κατεῖχε γὰρ αὐτὸν
flight except Cato and Domitius held for him
ὁ Κάτων, καίπερ αὐτὸς εἰς τὸν βραχίονα τετρωμένος,
— Cato although he in the arm wounded
καὶ παρεκελεύετο μένειν καὶ μὴ προλιπεῖν, ἕως ἐμπνέωσι,
and urged(-him) to-stay and not to-abandon while they-breathe
τὸν ὑπὲρ τῆς ἐλευθερίας ἀγῶνα πρὸς τοὺς τυράννους, οἳ
the for the freedom struggle against the tyrants who
τίνα τρόπον χρήσονται τῇ ἀρχῇ δηλοῦσι διὰ τηλικούτων
in-what manner they-will-use the office show through such-great
ἀδικημάτων ἐπ' αὐτὴν βαδίζοντες.
crimes to it marching

42 Οὐχ ὑποστάντος δὲ τοῦ Δομιτίου τὸ δεινόν, ἀλλ' εἰς τὴν
not having-withstood and — of-Domitius the danger but into the
οἰκίαν καταφυγόντος, ᾑρέθησαν μὲν ὕπατοι Πομπήϊος
house having-fled were-chosen indeed consuls Pompey
καὶ Κράσσος, οὐκ ἀπέκαμε δὲ ὁ Κάτων, ἀλλ' αὐτὸς
and Crassus not grew-weary but — Cato but himself

προελθὼν στρατηγίαν μετῄει, βουλόμενος ὁρμητήριον
having-come-forward praetorship sought wishing a-base
ἔχειν τῶν πρὸς ἐκείνους ἀγώνων καὶ πρὸς ἄρχοντας
to-have for-the against them struggles and against magistrates
ἀντικαθίστασθαι μὴ ἰδιώτης. οἱ δὲ καὶ τοῦτο δείσαντες,
to-be-set-against not as-a-private-man they and also this having-feared
ὡς τῆς στρατηγίας ἀξιομάχου διὰ Κάτωνα πρὸς τὴν
as the praetorship a-match because-of Cato for the
ὑπατείαν γενησομένης, πρῶτον μὲν ἐξαίφνης καὶ τῶν
consulship going-to-become first indeed suddenly and the
πολλῶν ἀγνοούντων βουλὴν συναγαγόντες ἐψηφίσαντο τοὺς
many not-knowing a-senate having-convened voted the
αἱρεθέντας στρατηγοὺς εὐθὺς ἄρχειν καὶ μὴ διαλιπόντας τὸν
elected praetors at-once to-hold-office and not having-let-pass the
νόμιμον χρόνον, ἐν ᾧ δίκαι τοῖς δεκάσασι τὸν δῆμον
lawful time in which suits against-those having-bribed the people
ἦσαν. ἔπειτα διὰ τοῦ ψηφίσματος τὸ διδόναι ἀνυπεύθυνον
were then through the decree the to-give unaccountable
κατασκευάσαντες ὑπηρέτας αὑτῶν καὶ φίλους ἐπὶ τὴν
having-made attendants their-own and friends to the
στρατηγίαν προῆγον, αὐτοὶ μὲν διδόντες ἀργύριον, αὐτοὶ
praetorship they-brought-forward they indeed giving money they
δὲ ταῖς ψήφοις φερομέναις ἐφεστῶτες. ὡς δὲ καὶ τούτων ἡ
and over-the votes being-cast presiding when and even these the
Κάτωνος ἀρετὴ καὶ δόξα περιῆν, ὑπ᾽ αἰδοῦς τῶν πολλῶν
of-Cato virtue and reputation overcame from shame of-the many
ἐν δεινῷ πολλῷ τιθεμένων ἀποδόσθαι Κάτωνα ταῖς ψήφοις,
in terror great considering to-sell Cato by-the votes
ὃν καλῶς εἶχε πρίασθαι τῇ πόλει στρατηγόν, ἥ τε
whom well it-would-be to-buy for-the city as-praetor the and
πρώτη κληθεῖσα τῶν φυλῶν ἐκεῖνον ἀπέδειξεν, ἐξαίφνης
first called of-the tribes him declared suddenly

ὁ Πομπήϊος βροντῆς ἀκηκοέναι ψευσάμενος αἴσχιστα
— *Pompey thunder to-have-heard having-falsely-claimed most-shamefully*
διέλυσε τὴν ἐκκλησίαν, εἰθισμένων ἀφοσιοῦσθαι τὰ τοιαῦτα
dissolved the assembly being-accustomed to-avert-as-ill-omened the such(-things)
καὶ μηδὲν ἐπικυροῦν διοσημίας γενομένης. αὖθις δὲ πολλῷ
and nothing to-ratify a-sign-from-Zeus having-occurred again and much
χρησάμενοι τῷ δεκασμῷ, τοὺς βελτίστους ὤσαντες ἐκ τοῦ
using the bribery the best having-thrust from the
πεδίου βίᾳ διεπράξαντο Βατίνιον ἀντὶ Κάτωνος αἱρεθῆναι
field by-force they-managed Vatinius instead-of Cato to-be-chosen
στρατηγόν. ἔνθα δὴ λέγεται τοὺς μὲν οὕτω παρανόμως
praetor there indeed it-is-said those indeed so illegally
καὶ ἀδίκως θεμένους τὴν ψῆφον εὐθὺς ὥσπερ ἀποδράντας
and unjustly having-cast the vote at-once as-if having-run-away
οἴχεσθαι, τοῖς δὲ ἄλλοις συνισταμένοις καὶ ἀγανακτοῦσι
to-go-off with-the and others gathering and being-indignant
δημάρχου τινὸς αὐτόθι παρασχόντος ἐκκλησίαν καταστάντα
a-tribune some there having-granted an-assembly having-stood-up
τὸν Κάτωνα ἅπαντα μὲν ὥσπερ ἐκ θεῶν ἐπίπνουν τὰ
— *Cato all indeed as-if from gods inspired the*
μέλλοντα τῇ πόλει προειπεῖν, παρορμῆσαι δὲ τοὺς πολίτας
things-to-come to-the city to-have-foretold to-have-roused and the citizens
ἐπὶ Πομπήϊον καὶ Κράσσον ὡς τοιαῦτα συνειδότας
against Pompey and Crassus as such being-conscious
αὑτοῖς, καὶ τοιαύτης ἁπτομένους πολιτείας δι' ἣν
with-themselves and such undertaking policy through which
ἔδεισαν Κάτωνα, μὴ στρατηγὸς αὐτῶν περιγένηται. τέλος
they-feared Cato lest praetor them he-overcome finally
δὲ ἀπιόντα εἰς τὴν οἰκίαν προὔπεμψε πλῆθος τοσοῦτον ὅσον
and going-off to the house escorted(-him) a-crowd so-great as
οὐδὲ σύμπαντας ἅμα τοὺς ἀποδεδειγμένους στρατηγούς.
not-even all at-once the appointed praetors

Γαΐου δὲ Τρεβωνίου γράψαντος νόμον ὑπὲρ νομῆς 43
Gaius and Trebonius having-proposed a-law about distribution
ἐπαρχιῶν τοῖς ὑπάτοις, ὥστε τὸν μὲν Ἰβηρίαν ἔχοντα
of-provinces for-the consuls so-that the-one indeed Iberia having
καὶ Λιβύην ὑφ' αὑτῷ, τὸν δὲ Συρίαν καὶ Αἴγυπτον, οἷς
and Libya under himself the-other and Syria and Egypt whom
βούλοιντο πολεμεῖν καὶ καταστρέφεσθαι ναυτικαῖς καὶ
they-wished to-make-war-on and to-subdue with-naval and
πεζικαῖς δυνάμεσιν ἐπιόντας, οἱ μὲν ἄλλοι τὴν ἀντίπραξιν
land forces attacking the indeed others the opposition
καὶ κώλυσιν ἀπεγνωκότες ἐξέλιπον καὶ τὸ ἀντειπεῖν,
and prevention having-despaired-of gave-up even the speaking-against
Κάτωνι δὲ ἀναβάντι πρὸ τῆς ψηφοφορίας ἐπὶ τὸ βῆμα
to-Cato but having-mounted before the voting on the tribunal
καὶ βουλομένῳ λέγειν μόλις ὡρῶν δυεῖν λόγον ἔδωκαν.
and wishing to-speak barely of-hours two speech they-gave
ὡς δὲ πολλὰ λέγων καὶ διδάσκων καὶ προθεσπίζων
when and much saying and teaching and foretelling
κατανάλωσε τὸν χρόνον, οὐκέτι λέγειν αὐτὸν εἴων,
he-used-up the time no-longer to-speak him they-allowed
ἀλλ' ἐπιμένοντα κατέσπασεν ὑπηρέτης προσελθών. ὡς δὲ
but persisting pulled(-him)-down an-attendant having-come-up when and
καὶ κάτωθεν ἱστάμενος ἐβόα καὶ τοὺς ἀκούοντας καὶ
even below standing he-shouted and the listening and
συναγανακτοῦντας εἶχε, πάλιν ὁ ὑπηρέτης ἐπιλαβόμενος καὶ
sharing-indignation he-had again the attendant having-seized and
ἀγαγὼν αὐτὸν ἔξω τῆς ἀγορᾶς κατέστησε. καὶ οὐκ ἔφθη
having-led him outside the forum set(-him) and not sooner
πρῶτον ἀφεθείς, καὶ πάλιν ἀναστρέψας ἵετο πρὸς τὸ
first released(-was-he) and again having-turned-back he-rushed to the
βῆμα μετὰ κραυγῆς ἐγκελευόμενος τοῖς πολίταις ἀμύνειν.
tribunal with shouting urging the citizens to-resist

πολλάκις δὲ τούτου γενομένου περιπαθῶν ὁ Τρεβώνιος
often and this having-happened much-excited — Trebonius
ἐκέλευσεν αὐτὸν εἰς τὸ δεσμωτήριον ἄγεσθαι· καὶ πλῆθος
ordered him to the prison to-be-led and a-crowd
ἐπηκολούθει λέγοντος ἅμα σὺν τῷ βαδίζειν ἀκροώμενον,
followed him-speaking at-once with the walking listening
ὥστε δείσαντα τὸν Τρεβώνιον ἀφεῖναι. Κἀκείνην μὲν
so-that having-feared — Trebonius to-release(-him) and-that indeed
οὕτω τὴν ἡμέραν ὁ Κάτων κατανάλωσε· ταῖς δ' ἐφεξῆς
thus the day — Cato used-up on-the and following(-days)
οὓς μὲν δεδιξάμενοι τῶν πολιτῶν, οὓς δὲ συσκευασάμενοι
some indeed having-frightened of-the citizens others and having-won-over
χάρισι καὶ δωροδοκίαις, ἕνα δὲ τῶν δημάρχων Ἀκύλλιον
with-favors and bribes one and of-the tribunes Aquillius
ὅπλοις εἴρξαντες ἐκ τοῦ βουλευτηρίου προελθεῖν, αὐτὸν
with-arms having-shut-in from the senate-house to-come-forth himself
δὲ τὸν Κάτωνα βροντὴν γεγονέναι βοῶντα τῆς ἀγορᾶς
and — Cato thunder to-have-occurred shouting from-the forum
ἐκβαλόντες, οὐκ ὀλίγους δὲ τρώσαντες, ἐνίων δὲ καὶ
having-thrown-out not few and having-wounded some and also
πεσόντων, βίᾳ τὸν νόμον ἐκύρωσαν, ὥστε πολλοὺς
having-fallen by-force the law they-ratified so-that many
συστραφέντας ὀργῇ τοὺς Πομπηΐου βάλλειν ἀνδριάντας.
having-banded-together in-anger the of-Pompey to-pelt statues
ἀλλὰ τοῦτο μὲν ἐπελθὼν ὁ Κάτων διεκώλυσε· τῷ δὲ
but this indeed having-come-up — Cato prevented — and
Καίσαρι πάλιν νόμου γραφομένου περὶ τῶν ἐπαρχιῶν καὶ
for-Caesar again a-law being-proposed about the provinces and
τῶν στρατοπέδων, οὐκέτι πρὸς τὸν δῆμον ὁ Κάτων,
the armies no-longer to the people — Cato
ἀλλὰ πρὸς αὐτὸν τραπόμενος Πομπήϊον ἐμαρτύρατο καὶ
but to himself having-turned Pompey he-testified and

προὔλεγεν ὡς ἐπὶ τὸν αὑτοῦ τράχηλον ἀναλαμβάνων
foretold that on the his-own neck taking-up
Καίσαρα νῦν μὲν οὐκ οἶδεν, ὅταν δὲ ἄρχηται βαρύνεσθαι
Caesar now indeed not he-knows when but he-begins to-be-weighed-down
καὶ κρατεῖσθαι μήτε ἀποθέσθαι δυνάμενος μήτε φέρειν
and to-be-overpowered neither to-put(-him)-down being-able nor to-bear(-him)
ὑπομένων, εἰς τὴν πόλιν ἐμπεσεῖται σὺν αὐτῷ, καὶ
enduring into the city he-will-fall with him and
μεμνήσεται τότε τῶν Κάτωνος παραινέσεων, ὡς οὐδὲν
he-will-remember then the of-Cato exhortations that no
ἧττον ἐν αὐταῖς τὸ Πομπηΐου συμφέρον ἐνῆν ἢ τὸ
less in them the of-Pompey advantage was than the
καλὸν καὶ δίκαιον. ταῦτα πολλάκις ἀκούων ὁ Πομπήϊος
honorable and just these-things often hearing — Pompey
ἠμέλει καὶ παρέπεμπεν ἀπιστίᾳ τῆς Καίσαρος μεταβολῆς
neglected and let(-them)-pass from-disbelief of-the of-Caesar change
διὰ πίστιν εὐτυχίας τῆς ἑαυτοῦ καὶ δυνάμεως.
through confidence in-good-fortune the his-own and power
Εἰς δὲ τὸ ἑξῆς ἔτος αἱρεθεὶς ὁ Κάτων στρατηγὸς 44
for and the following year having-been-chosen — Cato praetor
οὐδὲν ἔδοξε προστιθέναι τῇ ἀρχῇ τοσοῦτον εἰς
nothing he-seemed to-add to-the office so-much to
σεμνότητα καὶ μέγεθος ἄρχων καλῶς, ὅσον ἀφαιρεῖν καὶ
dignity and greatness governing well as to-take-away and
καταισχύνειν ἀνυπόδητος καὶ ἀχίτων πολλάκις ἐπὶ τὸ
to-disgrace without-shoes and without-tunic often to the
βῆμα προερχόμενος καὶ θανατικὰς δίκας ἐπιφανῶν ἀνδρῶν
tribunal coming-forth and capital trials of-distinguished men
οὕτω βραβεύων. ἔνιοι δέ φασι καὶ μετ᾽ ἄριστον οἶνον
so presiding-over some and say also after breakfast wine
πεπωκότα χρηματίζειν· ἀλλὰ τοῦτο μὲν οὐκ ἀληθῶς
having-drunk to-do-business but this indeed not truly

λέγεται. διαφθειρομένου δὲ τοῦ δήμου ταῖς δωροδοκίαις
is-said being-corrupted and the people by-the bribes
ὑπὸ τῶν φιλαρχούντων καὶ χρωμένων τῷ δεκάζεσθαι
by those loving-office and using the being-bribed
καθάπερ ἐργασίᾳ συνήθει τῶν πολλῶν, βουλόμενος ἐκκόψαι
as-if a-trade customary of-the many wishing to-cut-out
παντάπασι τὸ νόσημα τοῦτο τῆς πόλεως, ἔπεισε δόγμα
altogether the disease this of-the city he-persuaded a-decree
θέσθαι τὴν σύγκλητον ὅπως οἱ κατασταθέντες ἄρχοντες, εἰ
to-pass the senate that the appointed magistrates if
μηδένα κατήγορον ἔχοιεν, αὐτοὶ παριόντες ἐξ ἀνάγκης εἰς
no accuser they-had themselves coming-forward of necessity before
ἔνορκον δικαστήριον εὐθύνας διδῶσιν. ἐπὶ τούτῳ χαλεπῶς
a-sworn court accounts should-render at this badly
μὲν ἔσχον οἱ μετιόντες ἀρχάς, ἔτι δὲ χαλεπώτερον ὁ
indeed took(-it) those seeking offices still and worse the
μισθαρνῶν ὄχλος. ἕωθεν οὖν ἐπὶ τὸ βῆμα τοῦ Κάτωνος
wage-earning mob at-dawn then to the tribunal — of-Cato
προελθόντος ἀθρόοι προσπεσόντες ἐβόων, ἐβλασφήμουν,
having-come-forth in-a-body having-fallen-on(-him) they-shouted reviled
ἔβαλλον, ὥστε φεύγειν ἀπὸ τοῦ βήματος ἅπαντας, αὐτὸν
pelted so-that to-flee from the tribunal all him
δὲ ἐκεῖνον ἐξωσθέντα τῷ πλήθει καὶ παραφερόμενον
and that-one thrust-out by-the crowd and borne-along
μόλις ἐπιλαβέσθαι τῶν ἐμβόλων. ἐντεῦθεν ἀναστὰς τῷ
barely to-get-hold-of the rostra from-there having-stood-up by-the
μὲν ἰταμῷ καὶ θαρροῦντι τῆς ὄψεως εὐθὺς ἐκράτησε
indeed boldness and confidence of-the look at-once he-mastered
τοῦ θορύβου καὶ τὴν κραυγὴν ἔπαυσεν, εἰπὼν δὲ τὰ
the uproar and the shouting stopped having-said and the
πρέποντα καὶ μεθ' ἡσυχίας ἀκουσθεὶς παντάπασι διέλυσε
fitting(-things) and with quiet having-been-heard altogether he-dissolved

τὴν ταραχήν. ἐπαινούσης δὲ τῆς βουλῆς αὐτόν, "Ἐγὼ
the disturbance praising and the senate him I
δέ," εἶπεν, "ὑμᾶς οὐκ ἐπαινῶ κινδυνεύοντα στρατηγὸν
but he-said you not praise in-danger a-praetor
ἐγκαταλιπόντας καὶ μὴ προσαμύναντας."
having-abandoned and not having-helped
Τῶν δὲ μετιόντων ἀρχὴν ἕκαστος ἀπόρῳ πάθει συνείχετο,
of-the and seeking office each in-helpless feeling was-held
φοβούμενος μὲν αὐτὸς δεκάζειν, φοβούμενος δὲ ἑτέρου τοῦτο
fearing indeed himself to-bribe fearing and another this
πράξαντος ἐκπεσεῖν τῆς ἀρχῆς. ἔδοξεν οὖν αὐτοῖς εἰς ταὐτὸ
having-done to-fail-to-get the office it-seemed then to-them into the-same
συνελθοῦσι παραβαλέσθαι δραχμῶν ἕκαστον ἀργυρίου
having-come-together to-deposit drachmas each of-silver
δεκαδύο ἥμισυ μυριάδας, εἶτα μετιέναι τὴν ἀρχὴν πάντας
twelve and-a-half ten-thousands then to-seek the office all
ὀρθῶς καὶ δικαίως· τὸν δὲ παραβάντα καὶ χρησάμενον
rightly and justly the and having-transgressed and having-used
δεκασμῷ στέρεσθαι τοῦ ἀργυρίου. ταῦτα ὁμολογήσαντες
bribery to-be-deprived of-the money these-things having-agreed
αἱροῦνται φύλακα καὶ βραβευτὴν καὶ μάρτυρα τὸν Κάτωνα
they-choose as-guardian and umpire and witness — Cato
καὶ τὰ χρήματα φέροντες ἐκείνῳ παρετίθεντο· καὶ τὰς
and the money bringing to-him they-deposited(-it) and the
συνθήκας ἐγράψαντο πρὸς ἐκεῖνον, ἀντὶ τῶν χρημάτων
covenants they-drew-up with him instead-of the money
ἐγγυητὰς λαβόντα, τὰ δὲ χρήματα μὴ δεξάμενον. ὡς δὲ
sureties having-taken the but money not having-accepted when and
ἦκεν ἡ κυρία τῆς ἀναδείξεως, παραστὰς ὁ Κάτων
came the appointed(-day) of-the declaration standing-by — Cato
τῷ βραβεύοντι δημάρχῳ καὶ παραφυλάξας τὴν ψῆφον,
the presiding tribune and having-watched the vote

ἕνα τῶν παραβαλομένων ἀπέφηνε κακουργοῦντα καὶ
one of-those depositing he-showed doing-wrong and
προσέταξεν ἀποδοῦναι τοῖς ἄλλοις τὸ ἀργύριον. ἀλλ᾽ ἐκεῖνοι
ordered(-him) to-pay to-the others the money but they
μὲν ἐπαινέσαντες αὐτοῦ τὴν ὀρθότητα καὶ θαυμάσαντες
indeed having-praised his the uprightness and having-admired
ἀνεῖλον τὸ πρόστιμον ὡς ἱκανὴν δίκην ἔχοντες παρὰ
remitted the penalty as sufficient satisfaction having from
τοῦ ἀδικήσαντος· τοὺς δὲ ἄλλους ἐλύπησεν ὁ Κάτων
the wrongdoer the but others he-grieved — Cato
καὶ φθόνον ἔσχεν ἀπὸ τούτου πλεῖστον, ὡς βουλῆς καὶ
and envy got from this very-great as of-senate and
δικαστηρίων καὶ ἀρχόντων δύναμιν αὑτῷ περιποιησάμενος.
courts and magistrates power for-himself having-acquired
Οὐδεμιᾶς γὰρ ἀρετῆς δόξα καὶ πίστις ἐπιφθόνους ποιεῖ
of-no for virtue reputation and credit odious makes
μᾶλλον ἢ τῆς δικαιοσύνης, ὅτι καὶ δύναμις αὐτῇ
more than of-the justice because both power it
καὶ πίστις ἕπεται μάλιστα παρὰ τῶν πολλῶν. οὐ γὰρ
and credit follow most from the many not for
τιμῶσι μόνον, ὡς τοὺς ἀνδρείους, οὐδὲ θαυμάζουσιν, ὡς
they-honor only as the brave nor admire as
τοὺς φρονίμους, ἀλλὰ καὶ φιλοῦσι τοὺς δικαίους καὶ
the wise but also love the just and
θαρροῦσιν αὐτοῖς καὶ πιστεύουσιν. ἐκείνων δὲ τοὺς μὲν
are-confident in-them and trust(-them) of-those but the-some indeed
φοβοῦνται, τοῖς δὲ ἀπιστοῦσι· πρὸς δὲ τούτοις ἐκείνους
they-fear the-others and they-distrust besides and these those
μὲν οἴονται φύσει μᾶλλον ἢ τῷ βούλεσθαι διαφέρειν,
indeed they-think by-nature more than by-the willing to-excel
ἀνδρείαν καὶ φρόνησιν, τὴν μὲν ὀξύτητά τινα, τὴν
courage and wisdom the-one indeed a-keenness some the-other

δ᾽ εὐρωστίαν ψυχῆς τιθέμενοι, δικαίῳ δὲ ὑπάρχοντος
and a-vigor of-soul considering for-a-just(-man) and it-being-possible
εὐθὺς εἶναι τῷ βουλομένῳ μάλιστα τὴν ἀδικίαν ὡς
at-once to-be to-the willing most the injustice as
κακίαν ἀπροφάσιστον αἰσχύνονται.
wickedness inexcusable they-are-ashamed-of

XI · POMPEY'S RIVALRY AND FAVONIUS' GAMES

Pompey sets Clodius on Cato, and Cato contrasts his own honesty in Cyprus with Pompey's wars. When Favonius is aedile, Cato runs the games with vegetables and wreaths of wild olive and steals the crowd from Curio's lavish shows. Cato backs Pompey's sole consulship as the lesser evil, then urges him to punish only future bribery and blocks his written praise of Plancus at a trial. Cato loses the consulship by refusing to canvass.

Διὸ καὶ τῷ Κάτωνι πάντες οἱ μεγάλοι προσεπολέμουν 45
wherefore also — with-Cato all the great made-war
ὡς ἐλεγχόμενοι· Πομπήϊος δὲ καὶ κατάλυσιν τῆς ἑαυτοῦ
as being-reproved Pompey and also destruction of-the his-own
δυνάμεως τὴν ἐκείνου δόξαν ἡγούμενος ἀεί τινας
power the his reputation considering always some
προσέβαλλεν αὐτῷ λοιδορησομένους, ὧν καὶ Κλώδιος
set-on him to-revile(-him) of-whom also Clodius
ἦν ὁ δημαγωγός. αὖθις εἰς Πομπήϊον ὑπορρυεὶς
was the demagogue again to Pompey having-slipped-over
καὶ καταβοῶν τοῦ Κάτωνος, ὡς πολλὰ μὲν ἐκ
and decrying — of-Cato as much indeed from
Κύπρου χρήματα νοσφισαμένου, Πομπηΐῳ δὲ πολεμοῦντος
Cyprus money having-embezzled with-Pompey and being-at-war
ἀπαξιώσαντι γάμον αὐτοῦ θυγατρός. ὁ δὲ Κάτων ἔλεγεν
having-refused marriage of-his daughter — and Cato said

ὅτι χρήματα μὲν ἐκ Κύπρου τοσαῦτα τῇ πόλει
that money indeed from Cyprus so-much for-the city
συναγάγοι μήτε ἵππον ἕνα μήτε στρατιώτην λαβών,
he-had-collected neither horse one nor soldier having-taken
ὅσα Πομπήϊος ἐκ πολέμων τοσούτων καὶ θριάμβων τὴν
as-much-as Pompey from wars so-many and triumphs the
οἰκουμένην κυκήσας οὐκ ἀνήνεγκε, κηδεστὴν δὲ μηδέποτε
inhabited-world having-stirred-up not brought-back as-kinsman and never
προελέσθαι Πομπήϊον, οὐκ ἀνάξιον ἡγούμενος, ἀλλ' ὁρῶν
to-have-chosen Pompey not unworthy considering(-him) but seeing
τὴν ἐν τῇ πολιτείᾳ διαφοράν. "Αὐτὸς μὲν γάρ," ἔφη,
the in the politics difference I indeed for he-said
"διδομένης μοι μετὰ τὴν στρατηγίαν ἐπαρχίας ἀπέστην,
being-offered to-me after the praetorship a-province declined
οὗτος δὲ τὰς μὲν ἔχει λαβών, τὰς δὲ δίδωσιν ἑτέροις·
this-one and the-some indeed has having-taken the-others and gives to-others
νυνὶ δὲ καὶ τέλος ἑξακισχιλίων ὁπλιτῶν Καίσαρι κέχρηκεν
now and also a-force of-six-thousand hoplites to-Caesar has-lent
εἰς Γαλατίαν· ὃ οὔτ' ἐκεῖνος ᾔτησε παρ' ὑμῶν οὔτε οὗτος
for Gaul which neither he asked from you nor this-one
ἔδωκε μεθ' ὑμῶν, ἀλλὰ δυνάμεις τηλικαῦται καὶ ὅπλα καὶ
gave with you but forces so-great and arms and
ἵπποι χάριτές εἰσιν ἰδιωτῶν καὶ ἀντιδόσεις. καλούμενος
horses favors are of-private-men and exchanges called
δὲ αὐτοκράτωρ καὶ στρατηγὸς ἄλλοις τὰ στρατεύματα
and imperator and general to-others the armies
καὶ τὰς ἐπαρχίας παραδέδωκεν, αὐτὸς δὲ τῇ πόλει
and the provinces he-has-handed-over he and by-the city
παρακάθηται στάσεις ἀγωνοθετῶν ἐν ταῖς παραγγελίαις
sits-by factions presiding-over in the canvassings

καὶ θορύβους μηχανώμενος, ἐξ ὧν οὐ λέληθε δι᾽
and tumults contriving from which not he-escapes-notice through
ἀναρχίας μοναρχίαν ἑαυτῷ μνηστευόμενος.᾽᾽
anarchy monarchy for-himself wooing
Οὕτως μὲν ἠμύνατο τὸν Πομπήϊον. ἦν δὲ Μᾶρκος 46
thus indeed he-retaliated-against — Pompey was and Marcus
Φαώνιος ἑταῖρος αὐτοῦ καὶ ζηλωτής, οἷος ὁ Φαληρεὺς
Favonius companion his and emulator such-as the Phalerian
Ἀπολλόδωρος ἱστορεῖται περὶ Σωκράτην γενέσθαι τὸν
Apollodorus is-recorded about Socrates to-have-been the
παλαιόν, ἐμπαθὴς καὶ παρακεκινηκὼς πρὸς τὸν λόγον,
old excitable and frantic toward the doctrine
οὐ σχέδην οὐδὲ πράως, ἀλλ᾽ ἄκρατον αὐτοῦ καθαψάμενον
not gently nor mildly but neat of-it having-seized
ὥσπερ οἶνον καὶ μανικώτερον. οὗτος ἀγορανομίαν μετιὼν
like wine and more-madly this-one an-aedileship seeking
ἡττᾶτο, συμπαρὼν δὲ ὁ Κάτων προσέσχε ταῖς δέλτοις
was-defeated being-present and — Cato noticed the tablets
μιᾷ χειρὶ γεγραμμέναις· καὶ τὴν κακουργίαν ἐξελέγξας
in-one hand written and the fraud having-exposed
τότε μὲν ἐπικλήσει δημάρχων ἔλυσε τὴν ἀνάδειξιν,
then indeed by-appeal to-tribunes he-annulled the election
ὕστερον δὲ τοῦ Φαωνίου κατασταθέντος ἀγορανόμου τά
later and — of-Favonius having-been-appointed aedile the
τε ἄλλα τῆς ἀρχῆς ἐπεμελεῖτο καὶ τὰς θέας διεῖπεν ἐν
both other(-things) of-the office he-attended-to and the shows managed in
τῷ θεάτρῳ, διδοὺς καὶ τοῖς θυμελικοῖς στεφάνους μὲν οὐ
the theater giving also to-the performers crowns indeed not
greatness to-recover many and for-them for safety
καὶ ἀσφάλειαν ὑποκειμένων, καὶ μεγίστου πρὸς ἄνδρα
and security being-at-hand and greatest against a-man
πολεμεῖν ἐπὶ πολλὰ τοῖς καιροῖς ἀνθελκόμενον, Ἰβηρίας
to-make-war in many-ways by-the circumstances being-pulled-back Iberia
τε πρὸς Πομπήϊον ἀφεστώσης τὸν νέον, αὐτῆς τε τῆς
both to Pompey having-revolted the young itself and —
Ῥώμης οὔπω δι' ἀήθειαν παντάπασι δεδεγμένης τὸν
of-Rome not-yet through unfamiliarity altogether having-accepted the
χαλινόν, ἀλλ' ἀναξιοπαθούσης καὶ συνεξανισταμένης πρὸς
bit but resenting and rising-up against
πᾶσαν μεταβολήν, οὐδὲ τὸν κίνδυνον εἶναι φευκτέον,
every change not-even the danger to-be to-be-shunned
ἀλλὰ ἔχειν διδάσκαλον τὸν πολέμιον ἀφειδοῦντα τῆς
but to-have as-teacher the enemy not-sparing the
ψυχῆς ἐπὶ ταῖς μεγίσταις ἀδικίαις, οὐχ ὥσπερ ἑαυτοῖς
life for the greatest wrongs not as for-themselves

εἰς τὸν εὐτυχέστατον βίον κατορθοῦσιν ἢ πταίουσιν εἰς
into the most-fortunate life succeeding or failing into
τὸν εὐκλεέστατον θάνατον τὴν ἀδηλότητα τοῦ πολέμου
the most-glorious death the uncertainty of-the war
τελευτᾶν. οὐ μὴν ἀλλ' ἐκείνους γε δεῖν ἔφη
to-end not indeed but them at-least it-was-necessary he-said
βουλεύεσθαι καθ' ἑαυτούς, συνευχόμενος ἀντὶ τῆς
to-deliberate by themselves praying-with(-them) in-return-for the
πρόσθεν ἀρετῆς καὶ προθυμίας αὐτοῖς τὰ δόξαντα
former virtue and zeal for-them the resolved(-things)
συνενεγκεῖν.
to-turn-out-well

Τοιαῦτα τοῦ Κάτωνος εἰπόντος, ἦσαν μὲν οἱ καὶ τοῖς 60
such-things — of-Cato having-said there-were indeed those even by-the
λόγοις ἀγόμενοι πρὸς τὸ θαρρεῖν, οἱ δὲ πλεῖστοι πρὸς
words led to the being-confident the but most at
τὸ ἀδεὲς καὶ γενναῖον αὐτοῦ καὶ φιλάνθρωπον ὀλίγου
the fearlessness and nobility his and humanity of-little
δεῖν ἐκλαθόμενοι τῶν παρόντων, ὡς μόνον ὄντα τοῦτον
to-lack having-forgotten the present as alone being this-one
ἀήττητον ἡγεμόνα καὶ πάσης κρείττονα τύχης, ἐδέοντο
an-unconquerable leader and than-all superior fortune begged(-him)
χρῆσθαι καὶ σώμασιν αὐτῶν καὶ χρήμασι καὶ ὅπλοις,
to-use both persons their and money and arms
ὅπως αὐτὸς ἔγνωκε· κρεῖττον γὰρ ἐκείνῳ πειθομένους
as he has-resolved better for him obeying
ἀποθανεῖν ἢ σώζεσθαι προδόντας ἀρετὴν τοσαύτην.
to-die than to-be-saved having-betrayed virtue so-great
Εἰπόντος δέ τινος ὡς χρὴ ψηφίσασθαι δούλοις
having-said and someone that it-is-needful to-vote for-slaves
ἐλευθερίαν, καὶ τῶν πλείστων συνεπαινεσάντων, οὐκ ἔφη
freedom and the most having-approved not said

τοῦτο ποιήσειν ὁ Κάτων· οὐ γὰρ εἶναι νόμιμον οὐδὲ δίκαιον,
this to-do — Cato not for to-be lawful nor just
αὐτῶν μέντοι τῶν δεσποτῶν ἀφιέντων τοὺς ἐν ἡλικίᾳ
themselves however the masters setting-free those in military-age
δέχεσθαι. γενομένων δὲ πολλῶν ὑποσχέσεων κελεύσας
to-accept having-been and many promises having-bidden
ἀπογράφεσθαι τὸν βουλόμενον ἀπηλλάττετο. καὶ μετὰ μικρὸν
to-enroll the willing he-departed and after a-little
ἦκεν αὐτῷ γράμματα παρὰ Ἰόβα καὶ Σκηπίωνος, Ἰόβα
came to-him letters from Juba and Scipio Juba
μὲν ἐν ὄρει κεκρυμμένου μετ᾽ ὀλίγων ἐρωτῶντος ὅ τι
indeed in a-mountain hidden with few asking what ever
πράττειν δέδοκται τῷ Κάτωνι· καὶ γὰρ περιμενεῖν
to-do has-been-resolved — by-Cato and for he-would-wait-for(-him)
Ἰτύκην ἐκλιπόντα καὶ πολιορκουμένῳ μετὰ στρατιᾶς
Utica having-left and besieged with army
ἐπιβοηθήσειν, Σκηπίωνος δὲ πρὸς ἄκρᾳ τινὶ ναυλοχοῦντος
would-come-to-help Scipio and at a-headland some lying-at-anchor
οὐ πόρρω τῆς Ἰτύκης ἐπὶ τοῖς αὐτοῖς καραδοκοῦντος.
not far — of-Utica on the same(-terms) waiting
61 Ἔδοξεν οὖν τῷ Κάτωνι τοὺς γραμματοφόρους ἐπισχεῖν,
it-seemed-good then — to-Cato the letter-carriers to-detain
ἄχρι οὗ βεβαιώσῃ τὰ παρὰ τῶν τριακοσίων. οἱ
until which he-should-confirm the(-attitude) of the three-hundred those
μὲν γὰρ ἀπὸ βουλῆς ἦσαν πρόθυμοι, καὶ τοὺς οἰκέτας
indeed for from senate were eager and the slaves
εὐθὺς ἀφιέντες ἐλευθέρους ὥπλιζον· τῶν δὲ τριακοσίων,
at-once setting-free free they-armed of-the but three-hundred
ἅτε δὴ πλωτικῶν καὶ δανειστικῶν ἀνθρώπων καὶ
inasmuch indeed seafaring and money-lending men and
τὸ πλεῖστον ἐν τοῖς οἰκέταις τῆς οὐσίας ἐχόντων, οὐ
the most in the slaves of-the property having not

πολὺν οἱ Κάτωνος λόγοι χρόνον ἐμμείναντες ἐξερρύησαν·
long the of-Cato words time having-remained flowed-away
καθάπερ γὰρ τῶν σωμάτων τὰ μανὰ δέχεται ῥᾳδίως
like for of-the bodies the porous receive easily
τὴν θερμότητα καὶ πάλιν μεθίησι, τοῦ πυρὸς ἀπαχθέντος
the heat and again let(-it)-go the fire removed
ψυχούμενα, παραπλησίως ἐκείνους ὁ μὲν Κάτων ὁρώμενος
growing-cold similarly them — indeed Cato being-seen
ἀνεζωπύρει καὶ διεθέρμαινεν, αὐτοὺς δὲ ἑαυτοῖς λόγον
rekindled and warmed-through them but to-themselves an-account
διδόντας ὁ Καίσαρος φόβος ἐξέκρουσε τῆς πρὸς Κάτωνα
giving the of-Caesar fear drove-out of-the toward Cato
καὶ τὸ καλὸν αἰδοῦς. "Τίνες γάρ," ἔφασαν, "ὄντες, τίνι τὸ
and the honorable respect who for they-said being whom the
προστασσόμενον ποιεῖν ἀπαξιοῦμεν; οὐχὶ Καῖσαρ μὲν οὗτος
commanded to-do do-we-refuse not Caesar indeed this-one
εἰς ὃν ἡ Ῥωμαίων ἅπασα περιέστηκεν ἰσχύς; ἡμῶν δὲ
on whom the of-Romans all has-come-round strength of-us and
Σκηπίων οὐδεὶς οὐδὲ Πομπήϊος οὐδὲ Κάτων. ἀλλὰ ἐν οἷς
Scipio nobody nor Pompey nor Cato but in what
καιροῖς πάντες ἄνθρωποι ταπεινότερα τῶν προσηκόντων
times all men humbler than-the fitting
διὰ φόβον φρονοῦσιν, ἐν τούτοις ἡμεῖς ὑπερμαχοῦντες τῆς
through fear think in these we fighting-for the
Ῥωμαίων ἐλευθερίας πολεμοῦμεν ἐξ Ἰτύκης ᾧ Κάτων
of-Romans freedom make-war from Utica to-whom Cato
μετὰ Πομπηΐου Μάγνου φεύγων ὑφεῖτο τῆς Ἰταλίας;
with Pompey Magnus fleeing had-yielded — of-Italy
καὶ δούλους ἐλευθεροῦμεν κατὰ Καίσαρος, οἷς αὐτοῖς
and slaves we-free against Caesar to-whom themselves
ἐλευθερίας, ὅσον ἂν ἐκεῖνος θέλῃ, μέτεστιν; ἀλλ' ἔτι νῦν,
of-freedom as-much-as — he wishes belongs but still now

ὦ μοχθηροί, γνόντες ἑαυτοὺς παραιτώμεθα τὸν κρατοῦντα
O wretches knowing ourselves let-us-beg-off the conqueror
καὶ πέμψωμεν τοὺς δεησομένους." Ταῦτα οἱ μετριώτατοι
and let-us-send those to-entreat(-him) these-things the most-moderate
τῶν τριακοσίων παρῄνουν· οἱ δὲ πλεῖστοι τοῖς
of-the three-hundred advised the but most against-the
συγκλητικοῖς ἐπεβούλευον, ὡς, εἰ τούτους συλλάβοιεν,
senators plotted as if these they-seized
ἱλασόμενοι τὴν πρὸς αὐτοὺς ὀργὴν τοῦ Καίσαρος.
going-to-appease the toward them anger — of-Caesar
62 Ὁ δὲ Κάτων ὑπονοῶν τὴν μεταβολὴν οὐκ ἤλεγχε, τῷ μέντοι
— and Cato suspecting the change not exposed(-it) — however
Σκηπίωνι καὶ τῷ Ἰόβᾳ γράψας ἀπέχεσθαι τῆς Ἰτύκης
to-Scipio and — Juba having-written to-keep-away-from — of-Utica
ἀπιστίᾳ τῶν τριακοσίων ἐξέπεμψε τοὺς γραμματοφόρους.
from-distrust of-the three-hundred he-sent-off the letter-carriers
τῶν δὲ ἱππέων οἱ διαφυγόντες ἀπὸ τῆς μάχης, ἀριθμὸς
of-the and horsemen those having-escaped from the battle a-number
οὐκ εὐκαταφρόνητος, προσελάσαντες τῇ Ἰτύκῃ πέμπουσι
not contemptible having-ridden-up — to-Utica send
πρὸς τὸν Κάτωνα τρεῖς ἄνδρας οὐ τὴν αὐτὴν γνώμην ἀπὸ
to — Cato three men not the same opinion from
πάντων ἔχοντας. οἱ μὲν γὰρ ἀπιέναι πρὸς Ἰόβαν, οἱ δὲ
all having the indeed for to-go-away to Juba the others
τῷ Κάτωνι προσχωρεῖν ὥρμηντο, τοὺς δὲ καὶ δέος εἶχεν
— to-Cato to-come-over were-eager the others and fear held
εἰς Ἰτύκην παριέναι. ταῦτα ὁ Κάτων ἀκούσας τοῖς μὲν
to Utica to-enter these-things — Cato having-heard to-the indeed
τριακοσίοις ἐκέλευσε προσέχειν Μάρκον Ῥούβριον, ἀτρέμα
three-hundred bade to-attend Marcus Rubrius quietly
τὰς ἀπογραφὰς τῶν ἐλευθερούντων δεχόμενον καὶ μὴ
the registrations of-those freeing receiving and not

προσβιαζόμενον, αὐτὸς δὲ τοὺς συγκλητικοὺς ἀναλαβὼν
forcing he and the senators having-taken
προῆλθεν ἔξω τῆς Ἰτύκης, καὶ τοῖς ἱππάρχοις ἐνέτυχε
went-forth outside — Utica and with-the cavalry-commanders met
δεόμενος μὴ προέσθαι Ῥωμαίων ἄνδρας ἀπὸ βουλῆς
begging(-them) not to-abandon of-Romans men from senate
τοσούτους μηδὲ Ἰόβαν ἑλέσθαι στρατηγὸν ἀντὶ Κάτωνος,
so-many nor Juba to-choose as-general instead-of Cato
ἀλλὰ σώζεσθαι κοινῇ καὶ σώζειν, παρελθόντας εἰς πόλιν
but to-be-saved in-common and to-save having-come into a-city
οὔτε κατὰ κράτος ἁλώσιμον εἰς ἔτη τε πάμπολλα σῖτον
neither by force capturable for years and very-many grain
καὶ τὴν ἄλλην παρασκευὴν ἔχουσαν. ταῦτα δὲ καὶ τῶν
and the other provision having these-things and also the
συγκλητικῶν δεομένων καὶ δακρυόντων οἱ μὲν ἵππαρχοι
senators begging and weeping the indeed cavalry-commanders
διελέγοντο τοῖς ἱππεῦσιν, ὁ δὲ Κάτων ἐπὶ χώματός τινος
discussed with-the horsemen — and Cato on a-mound some
καθίσας μετὰ τῶν συγκλητικῶν ἀνέμεινε τὰς ἀποκρίσεις.
having-sat with the senators awaited the answers
Ἐν δὲ τούτῳ παρῆν ὁ Ῥούβριος σὺν ὀργῇ κατηγορῶν 63
in and this was-present — Rubrius with anger accusing
τῶν τριακοσίων ἀκοσμίαν πολλὴν καὶ θόρυβον, ὡς
the three-hundred of-disorder great and tumult as
ἀφισταμένων καὶ διαταραττόντων τὴν πόλιν. ἐφ' οἷς
revolting and disturbing the city at which
οἱ μὲν ἄλλοι παντάπασιν ἀπογνόντες ἑαυτῶν εἰς
the indeed others altogether having-despaired-of themselves into
δάκρυα καὶ ὀδυρμοὺς ἐξέπεσον, ὁ δὲ Κάτων ἐκείνους τε
tears and laments fell — but Cato them both
θαρσύνειν ἐπειρᾶτο καὶ πρὸς τοὺς τριακοσίους ἔπεμψεν
to-encourage tried and to the three-hundred sent

ἀναμεῖναι κελεύων. οἱ δὲ ἀπὸ τῶν ἱππέων ἦκον οὐ
to-wait bidding(-them) those and from the horsemen came not
μέτρια προστάττοντες· ἔφασαν γὰρ οὔτε Ἰόβα δεῖσθαι
moderate(-things) demanding they-said for neither of-Juba to-need
μισθοδοτοῦντος οὔτε Καίσαρα φοβεῖσθαι Κάτωνος αὐτῶν
paying-wages nor Caesar to-fear Cato them
ἄρχοντος, Ἰτυκαίοις δέ, Φοίνιξιν ἀνθρώποις εὐμεταβόλοις,
commanding with-Uticans but Phoenician men changeable
συγκαθείργνυσθαι δεινὸν εἶναι· καὶ γὰρ εἰ νῦν ἀτρεμοῦσιν,
to-be-shut-up-together terrible to-be and for if now they-keep-quiet
ὅταν Καῖσαρ ἐπίῃ, συνεπιθήσεσθαι καὶ προδώσειν. εἴπερ
when Caesar comes they-will-join-the-attack and will-betray(-them) if-indeed
οὖν δεῖταί τις αὐτῶν συμπολεμούντων καὶ συμπαρόντων,
then needs anyone them fighting-with(-him) and being-with(-him)
ἐκβαλὼν ἅπαντας Ἰτυκαίους ἢ διαφθείρας, οὕτως
having-driven-out all Uticans or having-destroyed(-them) so
εἰς πόλιν καθαρὰν πολεμίων καὶ βαρβάρων καλείτω.
into a-city clean of-enemies and barbarians let-him-invite(-them)
ταῦτα ὁ Κάτων ἄγρια μὲν δεινῶς ἡγεῖτο καὶ βάρβαρα,
these-things — Cato savage indeed terribly thought and barbarous
πρᾴως δὲ ἀπεκρίνατο βουλεύσεσθαι μετὰ τῶν τριακοσίων.
mildly but answered he-would-deliberate with the three-hundred
Καὶ παρελθὼν αὖθις εἰς τὴν πόλιν ἐνετύγχανε τοῖς
and having-gone again into the city he-met the
ἀνδράσιν οὐκέτι σκήψεις οὐδὲ παραγωγὰς πλασσομένοις
men no-longer pretexts nor evasions inventing
ὑπ' αἰδοῦς πρὸς αὐτόν, ἄντικρυς δὲ χαλεπαίνουσιν εἴ
from respect toward him openly but being-angry if
τις αὐτοὺς βιάζοιτο πολεμεῖν Καίσαρι μὴ δυναμένους
anyone them should-force to-make-war-on Caesar not being-able
μηδὲ βουλομένους. ἔνιοι δὲ καὶ παρεφθέγγοντο περὶ τῶν
nor wishing some and also muttered about the

συγκλητικῶν, ὡς καθεκτέον ἐν τῇ πόλει Καίσαρος
senators that they-must-be-detained in the city Caesar
προσιόντος. ἀλλὰ τοῦτο μὲν ὡς οὐκ ἀκούσας ὁ Κάτων
approaching but this indeed as not having-heard — Cato
παρῆκε· καὶ γὰρ ἦν ὑποκωφότερος· ὡς δέ τις αὐτῷ
let-pass and for he-was rather-deaf when and someone to-him
προσελθὼν ἀπήγγειλε τοὺς μὲν ἱππεῖς ἀπιέναι, φοβηθεὶς
having-come reported the indeed horsemen to-be-going-away having-feared
μὴ παντάπασιν οἱ τριακόσιοι κατὰ τῶν συγκλητικῶν
lest altogether the three-hundred against the senators
ἀπονοηθῶσιν, ἐβάδιζε μετὰ τῶν φίλων ἐξαναστάς· καὶ
be-driven-to-desperation he-went with the friends having-risen and
θεασάμενος ἤδη προκεχωρηκότας ἵππον λαβὼν ἐδίωκε
having-seen(-them) already having-gone-forward a-horse having-taken he-pursued
πρὸς αὐτούς. οἱ δὲ ἰδόντες ἄσμενοι προσελαύνοντα
toward them they and having-seen(-him) gladly riding-up
καὶ ἐδέξαντο καὶ παρεκάλουν σώζεσθαι μετ᾽ αὐτῶν. τότε
both received(-him) and urged(-him) to-save-himself with them then
καὶ δακρῦσαι τὸν Κάτωνά φασιν ὑπὲρ τῶν συγκλητικῶν
also to-have-wept — Cato they-say for the senators
δεόμενον καὶ προτείνοντα τὰς χεῖρας, ἐνίων δὲ καὶ τοὺς
begging and stretching-out the hands of-some and even the
ἵππους ἀναστρέφοντα καὶ τῶν ὅπλων ἀντιλαμβανόμενον,
horses turning-back and the arms grasping
μέχρι οὗ κατειργάσατο τὴν γοῦν ἡμέραν ἐκείνην
until which he-brought-about the at-least day that
ἐπιμείναντας ἀσφαλῆ τοῖς ἀνδράσι φυγὴν παρασχεῖν.
having-remained safe for-the men flight to-furnish

The three hundred now beg Cato to pity their weakness and offer to plead with Caesar for him; he refuses to beg the conqueror. He sends off the senators by sea, stops the horsemen's plunder, and urges young Statyllius to sail away. He answers Lucius Caesar that he will owe no tyrant thanks. At his last dinner he argues fiercely that only the good man is free, betraying his intention.

64 Ὡς οὖν ἔχων αὐτοὺς ἀφίκετο καὶ τοὺς μὲν ἐπὶ τὰς πύλας
when then having them he-arrived and the some at the gates
κατέστησε, τοῖς δὲ τὴν ἄκραν φυλάττειν παρέδωκεν,
he-stationed to-the others the citadel to-guard he-handed-over
ἔδεισαν οἱ τριακόσιοι μὴ δίκην δῶσι τῆς μεταβολῆς· καὶ
feared the three-hundred lest penalty they-pay for-the change and
πρὸς τὸν Κάτωνα πέμποντες ἐδέοντο πάντως ἀφικέσθαι
to — Cato sending begged(-him) by-all-means to-come
πρὸς αὑτούς. οἱ δὲ συγκλητικοὶ περιχυθέντες οὐκ
to them the and senators having-flocked-around(-him) not
εἴων, οὐδὲ ἔφασαν προήσεσθαι τὸν κηδεμόνα καὶ
allowed(-it) nor they-said they-would-give-up the guardian and
σωτῆρα τοῖς ἀπίστοις καὶ προδόταις. σαφεστάτη γάρ,
savior to-the faithless and traitors clearest for
ὡς ἔοικεν, αἴσθησις τότε παρέστη καὶ πόθος καὶ θαῦμα
as it-seems perception then came and longing and admiration
τῆς τοῦ Κάτωνος ἀρετῆς πᾶσιν ὁμαλῶς τοῖς ἐν τῇ
of-the — of-Cato virtue to-all alike those in —
Ἰτύκῃ γενομένοις, ὡς οὐδὲν ἄρα κίβδηλον οὐδὲ ἀπατηλὸν
Utica being as nothing then counterfeit nor deceitful
ἐμέμικτο τοῖς πραττομένοις ὑπ' αὐτοῦ.
was-mixed with-the(-things) done by him

Πάλαι δὲ ἄνθρωπος ἑαυτὸν ἐγνωκὼς ἀνελεῖν δεινοὺς
long-ago and the-man himself having-resolved to-kill terrible
πόνους ἐπόνει καὶ φροντίδας καὶ ὠδῖνας εἶχεν ὑπὲρ ἄλλων,
toils toiled and cares and pangs had for others
ὅπως εἰς ἀσφαλὲς καταστήσας ἅπαντας ἀπαλλάξαιτο τοῦ
so-that into safety having-placed all he-might-depart-from the
ζῆν. οὐ γὰρ ἦν ἄδηλος ἡ πρὸς τὸν θάνατον αὐτοῦ φορά,
living not for was unclear the toward the death his impulse
καίπερ οὐ φάσκοντος. ὑπήκουσεν οὖν τότε τοῖς τριακοσίοις
although not saying(-so) he-heeded then then the three-hundred
παραμυθησάμενος τοὺς συγκλητικούς· καὶ μόνος ἦκε πρὸς
having-comforted the senators and alone came to
αὐτοὺς χάριν ἔχειν ὁμολογοῦντας καὶ δεομένους τὰ μὲν
them gratitude to-have acknowledging and begging(-him) in-the indeed
ἄλλα χρῆσθαι καὶ πιστεύειν, εἰ δὲ Κάτωνες οὐκ εἰσὶν οὐδὲ
other(-things) to-use and to-trust(-them) if but Catos not they-are nor
τὸ Κάτωνος φρόνημα χωροῦσιν, οἰκτείρειν τὴν ἀσθένειαν
the of-Cato spirit contain to-pity the weakness
αὐτῶν· ἐγνωκότες δ' οὖν Καίσαρος δεῖσθαι καὶ πέμπειν πρὸς
their having-resolved and then of-Caesar to-beg and to-send to
αὐτόν, ὑπὲρ ἐκείνου μάλιστα καὶ πρώτου ποιήσεσθαι δέησιν·
him for him most and first they-would-make entreaty
εἰ δὲ μὴ πείθοιεν, οὐδ' αὐτοῖς διδομένην δέξεσθαι τὴν
if but not they-persuade(-him) not-even for-themselves granted to-accept the
χάριν, ἀλλ' ἄχρι ἂν ἐμπνέωσι πολεμήσειν ὑπὲρ ἐκείνου.
favor but as-long-as — they-breathe to-make-war for him
Πρὸς ταῦτα ὁ Κάτων ἐπαινέσας τὴν εὔνοιαν ἔφη
to these-things — Cato having-praised the goodwill said
χρῆναι τῆς αὐτῶν σωτηρίας ἕνεκα πέμπειν κατὰ τάχος,
it-is-needful of-the their-own safety for-the-sake to-send in haste
ὑπὲρ αὐτοῦ δὲ μὴ δεῖσθαι· κεκρατημένων γὰρ εἶναι δέησιν
for himself but not to-beg of-the-conquered for to-be entreaty

καὶ ἀδικούντων παραίτησιν· αὐτὸς δὲ οὐ μόνον ἀήττητος
and of-wrongdoers deprecation he but not only unconquered
γεγονέναι παρὰ πάντα τὸν βίον, ἀλλὰ καὶ νικᾶν ἐφ'
to-have-been through all the life but also to-conquer to
ὅσον ἐβούλετο καὶ κρατεῖν Καίσαρος τοῖς καλοῖς καὶ
as-much-as he-wished and to-prevail-over Caesar in-the noble and
δικαίοις· ἐκεῖνον δ' εἶναι τὸν ἑαλωκότα καὶ νενικημένον·
just(-things) him but to-be the(-one) captured and conquered
ἃ γὰρ ἠρνεῖτο πράττων κατὰ τῆς πατρίδος πάλαι, νῦν
what for he-denied doing against the fatherland long-ago now
ἐξηλέγχθαι καὶ πεφωρᾶσθαι.
to-have-been-exposed and detected

65 Τοιαῦτα διαλεχθεὶς τοῖς τριακοσίοις ἀπηλλάττετο· καὶ
such-things having-said to-the three-hundred he-departed and
πυθόμενος Καίσαρα πᾶσαν ἄγοντα τὴν στρατιὰν ἤδη
having-learned Caesar whole leading the army already
καθ' ὁδὸν εἶναι, "Παπαί," εἶπεν, "ὡς ἐπ' ἄνδρας
on the-road to-be ah he-said as against men
ἡμᾶς ἐκεῖνος." καὶ τραπόμενος πρὸς τοὺς συγκλητικοὺς
us he(-comes) and having-turned to the senators
ἐκέλευε μὴ μέλλειν, ἀλλ' ἕως παραμένουσιν οἱ ἱππεῖς
he-bade(-them) not to-delay but while remain the horsemen
σώζεσθαι. καὶ τὰς μὲν ἄλλας ἀπέκλεισε θύρας, μιᾷ δὲ
to-save-themselves and the indeed other he-shut gates by-one but
τῇ πρὸς θάλασσαν φερούσῃ τά τε πλοῖα τοῖς ὑφ' ἑαυτὸν
the to sea leading the both ships to-those under himself
διένειμε καὶ τάξεως ἐπεμελεῖτο, παύων τὰς ἀδικίας
he-distributed and order attended-to stopping the wrongs
καὶ διαλύων τοὺς θορύβους, καὶ τοὺς ἀπόρως ἔχοντας
and dissolving the tumults and those helplessly faring
ἐφοδιάζων. ἐπεὶ δὲ Μάρκος Ὀκτάβιος ἄγων δύο τάγματα
supplying when and Marcus Octavius leading two legions

πλησίον κατεστρατοπέδευσε καὶ πέμπων ἠξίου τὸν Κάτωνα
near encamped and sending asked — Cato
περὶ ἀρχῆς διορίσασθαι πρὸς αὐτόν, ἐκείνῳ μὲν οὐθὲν
about command to-make-a-settlement with him to-him indeed nothing
ἀπεκρίνατο, πρὸς δὲ τοὺς φίλους εἶπεν· "Εἶτα θαυμάζομεν
he-answered to but the friends he-said then do-we-wonder
ὅπως ἀπόλωλε τὰ πράγματα, τὴν φιλαρχίαν ὁρῶντες
how have-perished the affairs the love-of-command seeing
ἡμῖν ἐν αὐτῷ τῷ ὀλέθρῳ βεβηκόσι παραμένουσαν;"
in-us in the-very the ruin standing remaining
Ἐν τούτῳ δὲ τοὺς ἱππεῖς ἀκούσας ἀπιόντας ἤδη
in this and the horsemen having-heard going-away already
φέρειν καὶ ἄγειν τὰ τῶν Ἰτυκαίων ὥσπερ
to-be-carrying and leading-off the(-goods) of-the Uticans as-if
λάφυρα, δρόμῳ συνέτεινε πρὸς αὐτοὺς καὶ τοῖς πρώτοις
spoils at-a-run he-hastened to them and with-the first
ἐντυχὼν ἁφῃρεῖτο, τῶν δὲ ἄλλων ἕκαστος ἔφθανε
having-met he-took(-them)-away of-the and others each anticipated(-him)
ῥίπτων καὶ κατατιθέμενος, πάντες δὲ ὑπ' αἰσχύνης
throwing-down and laying-down all but from shame
σιωπῇ καὶ κάτω βλέποντες ἀπῄεσαν. ὁ δὲ Κάτων
in-silence and down looking went-away — and Cato
εἰς τὴν πόλιν τοὺς Ἰτυκαίους συναγαγὼν ἐδεῖτο περὶ
into the city the Uticans having-gathered begged about
τῶν τριακοσίων, μὴ παροξῦναι Καίσαρα κατ' αὐτῶν,
the three-hundred not to-provoke Caesar against them
ἀλλὰ καὶ κοινῇ τὴν σωτηρίαν πράττειν ἀλλήλοις. εἶτα
but also in-common the safety to-work for-each-other then
πάλιν τραπόμενος πρὸς τὴν θάλατταν ἐπεσκόπει τοὺς
again having-turned to the sea he-watched those
ἐμβαίνοντας, καὶ τῶν φίλων καὶ ξένων ὅσους ἔπεισεν
embarking and of-the friends and guest-friends as-many-as he-persuaded

ἠσπάζετο καὶ προὔπεμπε. τὸν δὲ υἱὸν οὐκ ἔπεισε λαβεῖν
he-embraced and escorted the but son not he-persuaded to-take
πλοῖον, οὐδὲ ᾤετο δεῖν ἀποτρέπειν περιεχόμενον
a-ship nor he-thought it-necessary to-dissuade clinging-to
τοῦ πατρός. ἦν δέ τις Στατύλλιος, ἀνὴρ τῇ μὲν
the father there-was and a Statyllius a-man in-the indeed
ἡλικίᾳ νέος, ἰσχυρὸς δὲ τῇ γνώμῃ βουλόμενος εἶναι
age young strong and in-the resolve wishing to-be
καὶ τοῦ Κάτωνος ἀπομιμεῖσθαι τὴν ἀπάθειαν. τοῦτον
and — of-Cato to-imitate the impassivity this-one
ἠξίου πλεῖν· καὶ γὰρ ἦν καταφανὴς μισοκαῖσαρ· ὡς
he-asked to-sail and for he-was conspicuous Caesar-hater when
δὲ οὐκ ἤθελεν, Ἀπολλωνίδῃ τῷ Στωϊκῷ καὶ Δημητρίῳ
and not he-was-willing at-Apollonides the Stoic and Demetrius
τῷ Περιπατητικῷ προσβλέψας ὁ Κάτων, "Ὑμέτερον,"
the Peripatetic having-looked — Cato yours
εἶπεν, "ἔργον οἰδοῦντα τοῦτον μαλάξαι καὶ καταρτίσαι
he-said the-task swelling this-one to-soften and to-fit
πρὸς τὸ συμφέρον." αὐτὸς δὲ τοὺς λοιποὺς συνεκπέμπων
for the expedient he and the rest sending-off
καὶ χρηματίζων τοῖς δεομένοις τήν τε νύκτα διέτριβε
and transacting-business with-those needing the both night spent
περὶ ταῦτα καὶ τῆς ἐπιούσης ἡμέρας τὸ πλεῖστον μέρος.
about these-things and of-the following day the greatest part
66 Ἐπεὶ δὲ Λεύκιος Καῖσαρ, οἰκεῖος μὲν ὢν Καίσαρος ἐκείνου,
when and Lucius Caesar kinsman indeed being of-Caesar that
μέλλων δὲ πρεσβεύειν ὑπὲρ τῶν τριακοσίων, παρεκάλει τὸν
about and to-go-as-envoy for the three-hundred urged —
Κάτωνα λόγον αὐτῷ συνυποθέσθαι πιθανὸν ᾧ χρήσεται
Cato a-speech for-him to-help-compose persuasive which he-will-use
περὶ ἐκείνων, "Ὑπὲρ σοῦ μὲν γὰρ αὐτοῦ καὶ χειρῶν ἐμοὶ
about them for you indeed for yourself also hands for-me

καλὸν ἄψασθαι καὶ γόνασι προσπεσεῖν Καίσαρος," οὐκ εἴα
noble to-clasp and at-knees to-fall of-Caesar not allowed
ταῦτα ποιεῖν ὁ Κάτων αὐτόν. "Ἐμοὶ γάρ," εἶπεν, "εἰ
these-things to-do — Cato him for-me for he-said if
σώζεσθαι χάριτι Καίσαρος ἐβουλόμην, αὐτῷ βαδιστέον ἦν
to-be-saved by-favor of-Caesar I-wished myself must-go it-was
πρὸς ἐκεῖνον μόνον. οὐ βούλομαι δὲ τῷ τυράννῳ χάριν
to him alone not I-wish but to-the tyrant gratitude
ἔχειν ὑπὲρ ὧν παρανομεῖ. παρανομεῖ δὲ σώζων ὡς κύριος
to-have for what he-acts-illegally he-acts-illegally and saving as master
ὧν αὐτῷ δεσπόζειν οὐδὲν προσῆκεν. ὅπως μέντοι
over-whom for-him to-be-lord-over in-no-way belongs how however
παραιτήσῃ τοὺς τριακοσίους κοινῇ σκοπῶμεν, εἰ βούλει."
you-may-beg-off the three-hundred in-common let-us-consider if you-wish
γενόμενος δὲ πρὸς τούτῳ μετὰ τοῦ Λευκίου τὸν υἱὸν αὐτῷ
having-been and at this with — Lucius the son to-him
συνέστησε καὶ τοὺς ἑταίρους ἀπιόντι· καὶ προπέμψας ἐκεῖνον
he-introduced and the companions departing and having-escorted him
καὶ δεξιωσάμενος ἐπανῆλθεν οἴκαδε, καὶ τὸν υἱὸν καὶ τοὺς
and having-taken-leave he-returned home and the son and the
φίλους συναγαγὼν ἄλλα τε πολλὰ διελέχθη καὶ πολιτείας
friends having-gathered other both many-things he-discoursed and politics
ἀπεῖπεν ἄψασθαι τῷ μειρακίῳ· τὸ μὲν γὰρ ἀξίως Κάτωνος
forbade to-meddle-with the youth the indeed for worthily of-Cato
οὐκέτι τὰ πράγματα δέξασθαι, τὸ δὲ ἄλλως αἰσχρὸν
no-longer the affairs to-admit the and otherwise shameful
εἶναι. καὶ περὶ ἑσπέραν ἤδη τρέπεται πρὸς τὸ βαλανεῖον.
to-be and about evening already he-turns to the bath
Ἐν δὲ τῷ λούεσθαι τοῦ Στατυλλίου μνησθεὶς καὶ μέγα
in and the bathing — of-Statyllius having-remembered and loudly
φθεγξάμενος, "Ἐξέπεμψας," εἶπεν, "ὦ Ἀπολλωνίδη, τὸν
having-cried did-you-send-off he-said O Apollonides —

Στατύλλιον ἀπὸ τοῦ φρονήματος ἐκείνου καθελών; καὶ
Statyllius from the spirit that having-brought-down and
πέπλευκεν ὁ ἀνὴρ μηδὲ ἀσπασάμενος ἡμᾶς;" "Πόθεν;"
has-sailed the man not-even having-said-goodbye-to us whence
εἶπεν ὁ Ἀπολλωνίδης· "καίτοι πολλὰ διελέχθημεν· ἀλλὰ
said — Apollonides and-yet much we-talked but
ὑψηλός ἐστι καὶ ἄτρεπτος, καὶ μένειν φησὶ καὶ πράττειν
lofty he-is and inflexible and to-stay he-says and to-do
ὅ τι ἂν σὺ πράττῃς." πρὸς ταῦτά φασι τὸν Κάτωνα
what ever — you do at these-things they-say — Cato
μειδιᾶσαι καὶ εἰπεῖν· "Ἀλλὰ τοῦτο μὲν αὐτίκα φανεῖται."
to-have-smiled and to-have-said but this indeed presently will-appear
67 Λουσάμενος δὲ μετὰ πολλῶν ἐδείπνει καθήμενος, ὥσπερ
having-bathed and with many he-dined sitting as
εἰώθει μετὰ τὴν μάχην· οὐ γὰρ κατεκλίθη πλὴν
he-had-been-accustomed after the battle not for he-reclined except
καθεύδων· συνεδείπνουν δὲ πάντες οἱ ἑταῖροι καὶ τῶν
sleeping dined-with(-him) and all the companions and of-the
Ἰτυκαίων οἱ ἄρχοντες. καὶ μετὰ τὸ δεῖπνον ὁ πότος
Uticans the magistrates and after the dinner the drinking
ἔσχε μοῦσαν πολλὴν καὶ χάριν, ἄλλων ἐπ' ἄλλοις λόγων
had culture much and charm other upon other discourses
φιλοσόφων κυκλούντων, ἄχρι οὗ περιῆλθεν ἡ ζήτησις
philosophical going-round until which came-round the inquiry
εἰς ταῦτα δὴ τὰ παράδοξα καλούμενα τῶν Στωϊκῶν,
to these indeed the paradoxes called of-the Stoics
τὸ μόνον εἶναι τὸν ἀγαθὸν ἐλεύθερον, δούλους δὲ τοὺς
the only to-be the good-man free slaves and the
φαύλους ἅπαντας. ἐνταῦθα δή, ὡς εἰκός, ἀντιβάντος
bad all there indeed as was-likely having-opposed
τοῦ Περιπατητικοῦ, σφοδρὸς ἐμπεσὼν ὁ Κάτων
the Peripatetic vehemently having-fallen-on(-it) — Cato

καὶ τόνον προσθεὶς καὶ τραχύτητα φωνῆς ἀπέτεινε
and intensity having-added and harshness of-voice extended
πορρωτάτω τὸν λόγον, ἀγῶνι θαυμαστῷ χρησάμενος,
very-far the discourse in-a-struggle wonderful engaging
ὥστε μηδένα λαθεῖν ὅτι τῷ βίῳ πέρας ἔγνωκεν
so-that nobody to-escape-notice that on-the life an-end he-had-resolved
ἐπιθεὶς ἀπαλλάττεσθαι τῶν παρόντων. διὸ καὶ μετὰ
having-put to-depart-from the present wherefore also after
τὸν λόγον σιωπῆς καὶ κατηφείας γενομένης ἐν πᾶσιν,
the discourse silence and dejection having-arisen among all
ἀναλαμβάνων αὐτοὺς καὶ ἀπάγων τῆς ὑποψίας ὁ
recovering them and leading(-them)-away from-the suspicion —
Κάτων αὖθις ὑπὲρ τῶν παρόντων ἐνέβαλλεν ἐρωτήματα
Cato again about the present(-affairs) put questions
καὶ φροντίδας, ὡς δεδιὼς μὲν ὑπὲρ τῶν πλεόντων, δεδιὼς
and anxieties as fearing indeed for those sailing fearing
δὲ ὑπὲρ τῶν ὁδευόντων ἐρημίαν ἄνυδρον καὶ βάρβαρον.
and for those journeying a-desert waterless and barbarous

XVI · THE DEATH OF CATO

Cato reads Plato's dialogue on the soul, finds his sword removed, and demands it angrily; his son and friends weep. Alone with the philosophers, he asks them to persuade his son not to force him. He sleeps, sends Butas to the harbor, then stabs himself, revives as the doctor tries to stitch it, and tears open the wound. Utica buries him by the sea. Caesar says he begrudges Cato his death. His son later dies bravely at Philippi, and his daughter, Brutus' wife, shares the conspiracy and dies worthily of her birth.

68 Οὕτω δὲ διαλύσας τὸ σύνδειπνον, καὶ περιπατήσας μετὰ
thus and having-broken-up the dinner and having-walked with
τῶν φίλων τὸν συνήθη μετὰ τὸ δεῖπνον περίπατον, καὶ
the friends the accustomed after the dinner walk and
τοῖς ἄρχουσι τῶν φυλάκων ἃ καιρὸς ἦν προστάξας,
to-the commanders of-the guards what time-for it-was having-ordered
ἀπιὼν εἰς τὸ δωμάτιον ἤδη, τόν τε παῖδα καὶ τῶν φίλων
going-away to the bedroom already the both son and of-the friends
ἕκαστον μᾶλλον ἢ πρότερον εἰώθει προσαγαγόμενος
each more than before he-was-accustomed having-drawn-close
καὶ φιλοφρονηθείς, πάλιν ὑποψίαν παρέσχε τοῦ μέλλοντος.
and having-shown-kindness again suspicion furnished of-the future
εἰσελθὼν δὲ καὶ κατακλιθεὶς ἔλαβεν εἰς χεῖρας τῶν
having-entered and and having-lain-down he-took into hands of-the
Πλάτωνος διαλόγων τὸν περὶ ψυχῆς· καὶ διελθὼν
of-Plato dialogues the(-one) about soul and having-gone-through
τοῦ βιβλίου τὸ πλεῖστον καὶ ἀναβλέψας ὑπὲρ κεφαλῆς,
of-the book the most and having-looked-up above head
ὡς οὐκ εἶδε κρεμάμενον τὸ ξίφος (ὑφῄρητο γὰρ ὁ παῖς
when not he-saw hanging the sword had-removed(-it) for the son
ἔτι δειπνοῦντος αὐτοῦ), καλέσας οἰκέτην ἠρώτησεν ὅστις
still dining him having-called a-servant he-asked who
λάβοι τὸ ἐγχειρίδιον. σιωπῶντος δὲ ἐκείνου πάλιν ἦν
had-taken the dagger being-silent and he again he-was
πρὸς τῷ βιβλίῳ· καὶ μικρὸν διαλιπών, ὥσπερ οὐ σπεύδων
at the book and a-little having-paused as-if not hurrying
οὐδὲ ἐπειγόμενος, ἄλλως δὲ τὸ ξίφος ἐπιζητῶν, ἐκέλευσε
nor pressing otherwise but the sword looking-for he-bade(-him)
κομίσαι. διατριβῆς δὲ γινομένης καὶ μηδενὸς κομίζοντος,
to-bring(-it) delay and occurring and nobody bringing(-it)
ἐξαναγνοὺς τὸ βιβλίον αὖθις ἐκάλει καθ' ἕνα τῶν οἰκετῶν
having-finished-reading the book again he-called one-by one of-the servants

καὶ μᾶλλον ἐνέτεινε τὴν φωνὴν τὸ ξίφος ἀπαιτῶν· ἑνὸς δὲ
and more he-raised the voice the sword demanding of-one and
καὶ πὺξ τὸ στόμα πατάξας ᾕμαξε τὴν αὐτοῦ χεῖρα,
even with-the-fist the mouth having-struck he-bloodied the his-own hand
χαλεπαίνων καὶ βοῶν ἤδη μέγα παραδίδοσθαι τῷ πολεμίῳ
being-angry and shouting now loudly to-be-handed-over to-the enemy
γυμνὸς ὑπὸ τοῦ παιδὸς αὐτοῦ καὶ τῶν οἰκετῶν, ἄχρι οὗ
unarmed by the son his and the servants until which
κλαίων ὁ υἱὸς εἰσέδραμε μετὰ τῶν φίλων καὶ περιπεσὼν
weeping the son ran-in with the friends and having-embraced(-him)
ὠδύρετο καὶ καθικέτευεν. ὁ δὲ Κάτων ἐξαναστὰς ἐνέβλεψέ
lamented and besought — but Cato having-risen-up looked
τε δεινὸν καὶ "Πότε," εἶπεν, "ἐγὼ καὶ ποῦ λέληθα
both terribly and when he-said I and where have-I-escaped-notice
παρανοίας ἡλωκώς, ὅτι διδάσκει μὲν οὐδεὶς οὐδὲ μεταπείθει
of-madness convicted that teaches indeed nobody nor persuades-otherwise
περὶ ὧν δοκῶ κακῶς βεβουλεῦσθαι, κωλύομαι δὲ χρῆσθαι
about what I-seem badly to-have-decided I-am-prevented but to-use
τοῖς ἐμαυτοῦ λογισμοῖς καὶ παροπλίζομαι; τί δ' οὐχὶ καὶ
the my-own reasonings and am-disarmed why but not even
συνδεῖς, ὦ γενναῖε, τὸν πατέρα καὶ τὰς χεῖρας ἀποστρέφεις,
bind-together O noble(-son) the father and the hands twist-behind
μέχρι ἂν ἐλθὼν Καῖσαρ εὕρῃ με μηδὲ ἀμύνασθαι
until — having-come Caesar find me not-even to-defend-myself
δυνάμενον; οὐ γὰρ ἐπ' ἐμαυτόν γε δέομαι ξίφους, ὅπου
able not for against myself at-least I-need a-sword where
καὶ τὸ πνεῦμα βραχὺν χρόνον ἐπισχόντα καὶ τὴν κεφαλὴν
both the breath short time having-held and the head
ἅπαξ πατάξαντα πρὸς τὸν τοῖχον ἀποθανεῖν ἔνεστι."
once having-struck against the wall to-die it-is-possible

69 Ταῦτα λέγοντος αὐτοῦ τὸ μὲν μειράκιον ἐξῆλθε μετὰ
these-things saying him the indeed youth went-out with
κλαυθμοῦ καὶ πάντες οἱ λοιποί· τῷ δὲ Δημητρίῳ καὶ τῷ
weeping and all the rest — and to-Demetrius and —
Ἀπολλωνίδῃ μόνοις ὑπολειφθεῖσι πρᾳότερον ἤδη λαλῶν,
Apollonides alone left more-gently now talking
"Ἦ που καὶ ὑμῖν," ἔφη, "δέδοκται βίᾳ κατέχειν
surely I-suppose also to-you he-said it-has-been-resolved by-force to-restrain
ἄνδρα τοσοῦτον ἡλικίας ἐν τῷ βίῳ καὶ καθημένους αὐτοῦ
a-man so-far of-age in the life and sitting here
σιωπῇ παραφυλάσσειν, ἢ λόγον ἥκετε κομίζοντες ὡς
in-silence to-watch(-him) or an-argument have-you-come bringing that
οὐ δεινὸν οὐδὲ αἰσχρόν ἐστιν ἀποροῦντα σωτηρίας ἑτέρας
not terrible nor shameful it-is lacking safety other
Κάτωνα τὴν ἀπὸ τοῦ πολεμίου περιμένειν; τί οὖν οὐ
Cato the(-safety) from the enemy to-await why then not
λέγετε πείθοντες ἡμᾶς ταῦτα καὶ μεταδιδάσκοντες, ἵνα τὰς
you-speak persuading us these-things and re-teaching(-us) so-that the
προτέρας δόξας ἐκείνας καὶ λόγους, οἷς συμβεβιώκαμεν,
former opinions those and doctrines with-which we-have-lived
ἐκβαλόντες καὶ γενόμενοι διὰ Καίσαρα σοφώτεροι
having-thrown-out and having-become thanks-to Caesar wiser
μείζονα χάριν εἰδῶμεν αὐτῷ; καίτοι βεβούλευμαι μὲν οὐθὲν
greater gratitude we-may-owe him and-yet I-have-decided indeed nothing
ἔγωγε περὶ ἐμαυτοῦ· δεῖ δέ με βουλευσάμενον εἶναι
I about myself it-is-necessary but me having-decided to-be
κύριον οἷς ἔγνωκα χρῆσθαι. βουλεύσομαι δὲ τρόπον τινὰ
master of-what I-have-resolved to-use I-will-take-counsel and in-a-way some
μεθ' ὑμῶν, βουλευόμενος μετὰ τῶν λόγων οἷς καὶ ὑμεῖς
with you taking-counsel with the doctrines which also you

φιλοσοφοῦντες χρῆσθε. θαρροῦντες οὖν ἄπιτε, καὶ κελεύετε
philosophizing use being-confident then go-away and bid
τὸν υἱὸν ἃ μὴ δύναται τὸν πατέρα πείθειν μὴ βιάζεσθαι.”
the son what not he-is-able the father to-persuade not to-force
Πρὸς ταῦτα μηθὲν ἀντειπόντες οἱ περὶ τὸν Δημήτριον, 70
to these-things nothing having-spoken-against those around — Demetrius
ἀλλὰ δακρύσαντες ὑπεξῆλθον. εἰσπέμπεται δὲ διὰ παιδίου
but having-wept slipped-out is-sent-in and by a-child
μικροῦ τὸ ἐγχειρίδιον· καὶ λαβὼν ἐσπάσατο καὶ
small the dagger and having-taken(-it) he-drew(-it) and
κατενόησεν. ὡς δὲ εἶδεν ἑστῶτα τὸν ἀθέρα καὶ τὴν ἀκμὴν
examined(-it) when and he-saw firm the point and the edge
διαμένουσαν, εἰπών, “Νῦν ἐμός εἰμι,” τὸ μὲν ξίφος
remaining having-said now my-own I-am the indeed sword
ἔθηκε, τὸ δὲ βιβλίον αὖθις ἀνεγίνωσκε, καὶ λέγεται δὶς
he-laid-down the and book again he-read and it-is-said twice
ὅλον διεξελθεῖν. εἶτα κοιμηθεὶς ὕπνον βαθύν, ὥστε τοὺς
whole to-have-gone-through then having-slept a-sleep deep so-that those
ἐκτὸς αἰσθέσθαι, περὶ μέσας νύκτας ἐκάλει τῶν ἀπελευθέρων
outside to-perceive(-it) about middle nights he-called of-the freedmen
Κλεάνθην τὸν ἰατρὸν καὶ Βούταν, ᾧ μάλιστα πρὸς τὰς
Cleanthes the physician and Butas whom most for the
πολιτικὰς πράξεις ἐχρῆτο. καὶ τοῦτον μὲν ἐπὶ θάλατταν
political affairs he-used and this-one indeed to sea
ἔπεμψεν, ὅπως σκεψάμενος εἰ πάντες ἀνηγμένοι
he-sent so-that having-looked whether all put-out-to-sea
τυγχάνουσι, φράσοι πρὸς αὐτόν· τῷ δὲ ἰατρῷ τὴν χεῖρα
happen he-might-tell to him to-the and physician the hand
φλεγμαίνουσαν ὑπὸ τῆς πληγῆς ἣν ἔπληξε τὸν οἰκέτην,
inflamed from the blow which he-struck the servant
ἐπιδῆσαι παρέσχε. καὶ τοῦτ’ ἐποίησεν ἡδίους ἅπαντας, ὡς
to-bandage he-offered and this made more-cheerful all as

ζωτικῶς ἔχοντος αὐτοῦ. μετ᾽ ὀλίγον δὲ παρῆν ὁ Βούτας
for-life being(-disposed) him after a-little and was-present — Butas
ἀπαγγέλλων τοὺς μὲν ἄλλους ἀνῆχθαι, Κράσσον δὲ
reporting the indeed others to-have-put-to-sea Crassus but
λείπεσθαι ὑπὸ ἀσχολίας τινός, ὅσον δὲ οὔπω καὶ τοῦτον
to-be-left-behind from business some as-much but not-yet also this-one
ἐμβαίνειν, πολὺν δὲ χειμῶνα καὶ μέγα πνεῦμα κατέχειν τὴν
to-be-embarking much and storm and great wind to-hold the
θάλατταν. τοῦτο ἀκούσας ὁ Κάτων ἐστέναξεν οἴκτῳ τῶν
sea this having-heard — Cato groaned in-pity of-those
πλεόντων, καὶ πάλιν ἔπεμψε τὸν Βούταν ἐπὶ θάλατταν, εἴ
sailing and again sent — Butas to sea if
τις ἄρα παλινδρομήσας δέοιτό τινος τῶν ἀναγκαίων,
anyone then having-run-back should-need something of-the necessities
ἀπαγγελοῦντα πρὸς αὐτόν. Ἤδη δὲ ὄρνιθες ᾖδον, καὶ
to-report to him already and birds were-singing and
μικρὸν αὖθις κατηνέχθη πρὸς ὕπνον. ἐπανελθόντος δὲ τοῦ
a-little again he-sank into sleep having-returned and —
Βούτα καὶ φράσαντος πολλὴν ἡσυχίαν περὶ τοὺς λιμένας
of-Butas and having-told much quiet about the harbors
εἶναι, προσέταξεν αὐτῷ τὴν θύραν κλεῖσαι, καὶ καθῆκεν
to-be he-ordered him the door to-shut and let
ἑαυτὸν εἰς τὸ κλινίδιον ὡς τὸ λοιπὸν ἔτι τῆς νυκτὸς
himself-down onto the couch as the rest still of-the night
ἀναπαυσόμενος. ἐξελθόντος δὲ τοῦ Βούτα σπασάμενος τὸ
going-to-rest having-gone-out and — of-Butas having-drawn the
ξίφος ἔωσε μὲν ὑπὸ τὸ στῆθος, τῇ δὲ χειρὶ κουφότερον
sword he-thrust(-it) indeed under the breast with-the but hand rather-weakly
διὰ τὴν φλεγμονὴν χρησάμενος οὐκ εὐθὺς ἀπήλλαξεν
because-of the inflammation using not at-once he-dispatched
ἑαυτόν, ἀλλὰ δυσθανατῶν ἐξέπεσε τῆς κλίνης καὶ ψόφον
himself but dying-hard he-fell from-the couch and a-noise

ἐποίησε, καταβαλὼν ἀβάκιόν τι τῶν γεωμετρικῶν
made having-knocked-over an-abacus some of-the geometrical
παρακείμενον, ὥστε τοὺς θεράποντας αἰσθομένους
lying-by so-that the servants having-perceived(-it)
ἀναβοῆσαι καὶ τὸν υἱὸν αὐτίκα καὶ τοὺς φίλους ἐπεισελθεῖν.
to-cry-out and the son at-once and the friends to-rush-in
ἰδόντες δὲ πεφυρμένον αἵματι καὶ τῶν ἐντέρων τὰ πολλὰ
having-seen and smeared with-blood and of-the bowels the most
προπεπτωκότα, ζῶντα δ' αὐτὸν ἔτι καὶ βλέποντα, δεινῶς
protruding living but him still and looking terribly
μὲν ἅπαντες ἔσχον, ὁ δὲ ἰατρὸς προσελθὼν ἐπειρᾶτο
indeed all were-affected the and physician having-approached tried
τῶν ἐντέρων ἀτρώτων διαμεινάντων ταῦτά τε καθιστάναι
the bowels unwounded having-remained these both to-put-back
καὶ τὸ τραῦμα διαρράπτειν. ὡς οὖν ἀνήνεγκεν ὁ Κάτων
and the wound to-stitch-up when then recovered — Cato
καὶ συνεφρόνησε, τὸν μὲν ἰατρὸν ἀπεώσατο, ταῖς χερσὶ δὲ
and came-to-his-senses the indeed physician he-pushed-away with-the hands and
τὰ ἔντερα σπαράξας καὶ τὸ τραῦμα ἐπαναρρήξας ἀπέθανεν.
the bowels having-torn and the wound having-reopened he-died
Ἐν ᾧ δὲ οὐκ ἄν τις ᾠέτο χρόνῳ τοὺς κατὰ τὴν 71
in which and not — anyone would-think time those in the
οἰκίαν πάντας ᾐσθῆσθαι τὸ πάθος, ἐπὶ ταῖς θύραις ἦσαν
house all to-have-perceived the calamity at the doors were
οἱ τριακόσιοι, καὶ μικρὸν ὕστερον ὁ δῆμος ἤθροιστο τῶν
the three-hundred and a-little later the people had-assembled of-the
Ἰτυκαίων, μιᾷ φωνῇ τὸν εὐεργέτην καὶ σωτῆρα καὶ μόνον
Uticans with-one voice the benefactor and savior and only
ἐλεύθερον καὶ μόνον ἀήττητον καλούντων. καὶ ταῦτα
free and only unconquered calling(-him) and these-things
ἔπραττον ἀγγελλομένου προσιέναι Καίσαρος· ἀλλ' οὔτε
they-did being-reported to-be-approaching Caesar but neither

φόβος αὐτοὺς οὔτε κολακεία τοῦ κρατοῦντος οὔτε ἡ πρὸς
fear them nor flattery of-the conqueror nor the toward
ἀλλήλους διαφορὰ καὶ στάσις ἀμβλυτέρους ἐποίησε τῆς
each-other difference and faction blunter made in-the
πρὸς Κάτωνα τιμῆς. κοσμήσαντες δὲ τὸ σῶμα λαμπρῶς
toward Cato honor having-adorned and the body splendidly
καὶ πομπὴν ἐπιφανῆ παρασχόντες καὶ θάψαντες παρὰ
and a-procession conspicuous having-furnished and having-buried(-him) by
τὴν θάλασσαν, οὗ νῦν ἀνδριὰς ἐφέστηκεν αὐτοῦ ξιφήρης,
the sea where now a-statue stands his sword-bearing
οὕτως ἐτράποντο πρὸς τὸ σώζειν ἑαυτοὺς καὶ τὴν πόλιν.
thus they-turned to the saving themselves and the city
72 Καῖσαρ δὲ πυνθανόμενος παρὰ τῶν ἀφικνουμένων
Caesar and learning from those arriving
ὑπομένειν ἐν Ἰτύκῃ τὸν Κάτωνα μηδὲ φεύγειν, ἀλλὰ τοὺς
to-be-remaining in Utica — Cato nor to-be-fleeing but the
ἄλλους προπέμπειν, αὐτὸν δὲ καὶ τοὺς ἑταίρους καὶ τὸν υἱὸν
others to-be-sending-off himself and both the companions and the son
ἀδεῶς ἀναστρέφεσθαι, δυστέκμαρτον ἡγεῖτο τὴν γνώμην τοῦ
fearlessly to-be-going-about hard-to-guess considered the purpose of-the
ἀνδρός, ἅτε δὲ τὸν πλεῖστον λόγον ἔχων ἐκείνου προσῆγε
man inasmuch and the most account having of-him he-advanced
μετὰ τῆς δυνάμεως ἐπειγόμενος. ὡς δὲ ἤκουσε τὸν θάνατον
with the force hastening when and he-heard the death
αὐτοῦ, λέγεται τοσοῦτον εἰπεῖν· “Ὦ Κάτων, φθονῶ
his it-is-said so-much to-have-said O Cato I-begrudge
σοι τοῦ θανάτου· καὶ γὰρ ἐμοὶ σὺ τῆς σαυτοῦ σωτηρίας
you the death and for me you the of-yourself safety
ἐφθόνησας.” τῷ γὰρ ὄντι σωθῆναι Κάτων ἀνασχόμενος
begrudged in-the for reality to-be-saved Cato having-endured
ὑπὸ Καίσαρος οὐκ ἂν οὕτω δοκεῖ καταισχῦναι τὴν αὑτοῦ
by Caesar not — so seems to-have-disgraced the his-own

δόξαν, ὡς κοσμῆσαι τὴν ἐκείνου. τὸ δὲ πραχθὲν ἂν
glory as to-have-adorned the of-that-one the but done would-have-been
ἄδηλον· εἰκάζεται δὲ τὰ χρηστότερα παρὰ Καίσαρος.
unclear is-conjectured but the kinder(-course) from Caesar
Ἐτελεύτησε δὲ Κάτων ἔτη δυεῖν δέοντα πεντήκοντα 73
died and Cato years two lacking fifty
βεβιωκώς. ὁ δὲ υἱὸς αὐτοῦ ὑπὸ Καίσαρος μὲν οὐδὲν
having-lived the and son his by Caesar indeed in-nothing
ἠδικήθη· λέγεται δὲ ῥᾴθυμος γενέσθαι καὶ περὶ γυναῖκας
was-wronged it-is-said and indolent to-have-been and about women
οὐκ ἀνεπίληπτος. ἐν δὲ Καππαδοκίᾳ ξένῳ τινὶ
not blameless in and Cappadocia guest-friend some
χρησάμενος Μαρφαδάτῃ τῶν βασιλικῶν ἔχοντι γύναιον
having-had Marphadates of-the royal(-family) having a-wife
εὐπρεπές, καὶ πλείονα παρ᾽ αὐτοῖς ἢ καλῶς εἶχε
comely and longer with them than well it-was
διατρίβων χρόνον, ἐσκώπτετο τοιαῦτα γραφόντων εἰς
spending time he-was-mocked such-things writing about
αὐτόν· αὔριον Κάτων βαδίζει μετὰ τριάκονθ᾽ ἡμέρας· καί,
him tomorrow Cato goes after thirty days and
Πόρκιος καὶ Μαρφαδάτης, δύο φίλοι, ψυχὴ μία. Ψυχὴ
Porcius and Marphadates two friends soul one Psyche
γὰρ ἐκαλεῖτο τοῦ Μαρφαδάτου τὸ γύναιον. καὶ ἔτι,
for was-called — of-Marphadates the wife and again
εὐγενὴς καὶ λαμπρὸς ὁ Κάτων· βασιλικὴν ψυχὴν ἔχει.
noble and illustrious — Cato royal soul has
ἀλλὰ πᾶσάν γε τὴν τοιαύτην ἐξήλειψε καὶ ἠφάνισε
but all at-least the such he-wiped-out and effaced
τῷ θανάτῳ δύσκλειαν. ἀγωνιζόμενος γὰρ ἐν Φιλίπποις
by-the death ill-repute fighting for at Philippi
πρὸς Καίσαρα καὶ Ἀντώνιον ὑπὲρ τῆς ἐλευθερίας, καὶ
against Caesar and Antony for the freedom and

κλινομένης τῆς φάλαγγος οὔτε φυγεῖν οὔτε λαθεῖν
giving-way the phalanx neither to-flee nor to-escape-notice
ἀξιώσας, ἀλλὰ προκαλούμενος τοὺς πολεμίους ἔμπροσθεν
having-deigned but challenging the enemy in-front
ἑαυτὸν ἐμφανίζων καὶ συνεξορμῶν τοὺς συμμένοντας
himself showing and urging-on those standing-firm-with(-him)
ἔπεσε, θαῦμα τῆς ἀρετῆς τοῖς ἐναντίοις παρασχών.
he-fell wonder of-the virtue to-the opponents having-afforded
Ἔτι δὲ μᾶλλον ἡ θυγάτηρ τοῦ Κάτωνος οὔτε σωφροσύνης
still and more the daughter — of-Cato neither in-self-control
οὔτε ἀνδρείας ἀπολειφθεῖσα (Βρούτῳ γὰρ συνῴκει τῷ
nor in-courage falling-short to-Brutus for she-was-married the(-one)
κτείναντι Καίσαρα) αὐτῆς τε τῆς συνωμοσίας μετέσχε,
having-killed Caesar itself both the conspiracy she-shared
καὶ προήκατο τὸν βίον ἀξίως τῆς εὐγενείας καὶ ἀρετῆς,
and gave-up the life worthily of-the nobility and virtue
ὡς ἐν τοῖς περὶ Βρούτου γέγραπται. Στατύλλιος δὲ
as in the about Brutus has-been-written Statyllius and
φήσας μιμεῖσθαι Κάτωνα τότε μὲν ὑπὸ τῶν φιλοσόφων
having-said to-imitate Cato then indeed by the philosophers
ἐκωλύθη βουλόμενος ἑαυτὸν ἀνελεῖν, ὕστερον δὲ τῷ
was-prevented wishing himself to-kill later and —
Βρούτῳ πιστότατον ἑαυτὸν παρασχὼν καὶ χρησιμώτατον
to-Brutus most-faithful himself having-shown and most-useful
ἐν Φιλίπποις ἀπέθανεν.
at Philippi died